της εἶναι τελεσίδικες, γιά ὅλες τίς ἄλλες, οἱ ἐνδιαφερόμενοι ἔχουν δικαίωμα ἔφεσης στό πατριαρχεῖο (ἄρθρο 42). Ἑπομένως ἡ διάκριση πού διεκδικοῦν οἱ Ἁγιορεῖτες τό 1882, ἔχει εἰσαχθεῖ στούς Γενικούς Κανονισμούς. Ἡ Ἱερά Κοινότητα ἔχει ἐπίσης ἐξουσία νομοθετική καί ἐκτελεστική· αὐτῆς τῆς ἐξουσίας μέρος μεταβιβάζεται στήν Ἐπιστασία, ἡ λειτουργία τῆς ὁποίας ἐξετάζεται στά ἄρθρα 51-82, ὅπως εἴπαμε. Καί ἐδῶ οἱ πέντε τετράδες καί ἡ κατανομή τῶν μοναστηριῶν εἶναι οἱ ἴδιες ὅπως τό 1903: κάθε τετράδα παίρνει μέ τή σειρά (κάθε 5 χρόνια) τήν ἐπιστασία τήν 1η τοῦ Ἰουνίου, μέ ἐπικεφαλῆς τόν πρωτοεπιστάτη ἀπό τό πρωτεῦον μοναστήρι τῆς τετράδας (ἄρθρα 53, 54), ὁ ὁποῖος ἀντιστοιχεῖ στόν ἀρχαῖον πρῶτον, τοῦ ὁποίου φέρει καί τόν τίτλο. Ἡ Ἐπιστασία ἐκτελεῖ ἐπίσης δημαρχικά καθήκοντα στίς Καρυές (φωτισμός, συντήρηση δρόμων, καλή διαγωγή, ἐπιτήρηση τῶν καταστημάτων καί διατίμηση τῶν εἰδῶν, ἀπαγόρευση διαφόρων ζώων, τήρηση τῆς τάξης, κλπ. (ἄρθρο 79)[138].

Πολύ σύντομα ἡ ἀπελευθέρωση τοῦ Ἄθω ἀπό τόν τουρκικό ζυγό τόν Νοέμβριο τοῦ 1912 δημιούργησε μιά ἐντελῶς νέα κατάσταση καί ἔφερε στό προσκήνιο ἄλλα σοβαρά προβλήματα. Τό ζήτημα τῆς διοίκησης τοῦ Ὄρους, περιπλεγμένο ἀπό τό διεθνές πρόβλημα τῆς κυριαρχίας ἐπί τοῦ Ἄθω, ἔμεινε σέ ρευστή καί ἀβέβαιη θέση μέχρι τήν τελειωτική του λύση μέ τήν σύνταξη τό 1924 τοῦ Καταστατικοῦ Χάρτη καί τήν ἐπιψήφισή του τό 1926 ἀπό τήν ἑλληνική βουλή. Στό μεταξύ διάστημα, ὁ Ἄθως κυβερνᾶται σύμφωνα μέ τούς Γενικούς Κανονισμούς τοῦ 1912, ἀναγνωρισμένους ἀπό τήν Κοινότητα καί τόν πατριάρχη, ἀλλ' ὄχι ἀπό τήν τουρκική κυβέρνηση λόγω τοῦ ἑλληνοτουρκικοῦ πολέμου, οὔτε ἀργότερα ἀπό τήν ἑλληνική λόγω τῶν διεθνῶν περιπλοκῶν. Ἀπό διεθνοῦς ἀπόψεως ἴσχυε στό Ὄρος τό ἄρθρο 62, 8 τῆς συνθήκης τοῦ Βερολίνου (Ἰούλιος 1878), πού ἀναγνωρίζει ἴσα δικαιώματα σέ ὅλους τούς μοναχούς ὁποιασδήποτε ἐθνικότητας· τό ἄρθρο αὐτό ἐπικυρώνει τό προνομιακό καθεστώς τοῦ Ὄρους καί καταργεῖ τήν διάκριση πού εἶχε εἰσαγάγει λίγο πρίν τό ἄρθρο 22 τῆς συνθήκης τοῦ Ἁγίου Στεφάνου σχετικά μέ τά «τρία» ρωσικά μοναστήρια[139]. Τά πράγματα ἄλλαξαν τό 1913 ὅταν ἡ Ρωσική κυβέρνηση θέλησε νά ἀξιοποιήσει τίς πολύχρονες ἐνέργειές της γιά τή ρωσοποίηση τοῦ Ὄρους· στίς 12 Μαΐου 1913, ἔφερε τό ζήτημα τοῦ καθεστῶτος τοῦ Ὄρους στή Διάσκεψη τοῦ Λονδίνου· ὁ ρῶσος ἀντιπρόσωπος παρουσίασε καί ὑπόμνημα τῶν ρώσων μοναχῶν,

138 Πιά τήν κεντρική ὀργάνωση σύμφωνα μέ τούς Γ. Κ., πρβλ. Πετρακάκος, *Πολίτευμα*, σελ. 48-60· στίς ὑποσημειώσεις δίνει τό κείμενο πολλῶν ἄρθρων.

139 Τά δύο ἄρθρα στό γαλλικό τους κείμενο δίνουν ὁ Μαμαλάκης, *Ἄθως*, σελ. 457 σημ. 1 καί 2, καί ὁ Antonopoulos, *Condition internationale*, σελ. 389-391, μέ ἐκτενῆ σχόλια.

πού ἀριθμητικά ὑπερτεροῦσαν ἐλαφρά τῶν Ἑλλήνων, μέ τίς ἑξῆς ἀξιώσεις: 1) Νά ἀναγνωρισθεῖ τό Ἅγιον Ὄρος ἔδαφος αὐτόνομο καί οὐδέτερο ὑπό τήν προστασία τῆς Ρωσίας καί τῶν πέντε βαλκανικῶν ὀρθοδόξων κρατῶν. 2) Οἱ ἀντιπρόσωποι τῶν κρατῶν αὐτῶν νά καθορίσουν τίς ἀρχές διοίκησης τοῦ Ὄρους. 3) Ἡ ἐκλογή τῶν μελῶν τῆς Κοινότητας νά γίνεται ἀπό ὅλους τούς μοναχούς, μέ βάση ἕναν ἀντιπρόσωπο γιά κάθε 200 ἤ 250 μοναχούς μοναστηριακούς ἤ κελλιῶτες. 4) Κατάργηση τῆς ἰδιοκτησίας τοῦ Ἄθω ἀπό τίς εἴκοσι μονές· κάθε ἵδρυμα (μοναστήρι, σκήτη ἤ κελλί) θά κατέχει τό ἔδαφός του κυριαρχικά[140]. Ἡ ἐφαρμογή αὐτῶν τῶν ὅρων ὄχι μόνον κατέλυε τόν ἀρχαῖο τρόπο διοίκησης τῆς Ἀθωνικῆς πολιτείας, ἀλλά καί ἄφηνε τό Ὄρος στήν ἀπόλυτη κυριαρχία τῶν Ρώσων, ἐνῶ ἡ κατακερμάτιση τῆς ἰδιοκτησίας θά ἔφερνε τήν διάλυση τοῦ μοναχισμοῦ στόν Ἄθω. Κάτω ἀπό τήν ἀντίδραση τῶν ἄλλων κρατῶν, ἡ συνθήκη τοῦ Λονδίνου (17 Μαΐου 1913, ἄρθρο 5) παραπέμπει τό ζήτημα τοῦ Ἄθω σέ πρεσβευτική διάσκεψη τῶν Μεγάλων Δυνάμεων (Γερμανία, Αὐστρία, Γαλλία, Ἀγγλία, Ἰταλία καί Ρωσία), ἐνῶ ἡ διάσκεψη τοῦ Βουκουρεστίου (Αὔγουστος 1913) δέν θίγει καθόλου τό ζήτημα[141]. Ἐν τῷ μεταξύ, πρίν τή λήψη ἀποφάσεως στήν πρεσβευτική διάσκεψη καί πρίν τήν λήξη τῆς διασκέψεως τοῦ Βουκουρεστίου, ἡ ἑλληνική κυβέρνηση ἀρχίζει διμερεῖς συνομιλίες μέ τούς Ρώσους· δέχεται νά ἀποσύρει τά ἑλληνικά στρατεύματα ἀπό τό Ὄρος καί συζητᾶ τήν οὐδετερότητα αὐτοῦ καί τήν προστασία του ἀπό τίς Ὀρθόδοξες Δυνάμεις· τότε ὁ ἔκτακτος ἀπεσταλμένος τῆς Ρωσικῆς κυβέρνησης στό Ὄρος δηλώνει στούς Ἁγιορεῖτες ὅτι οἱ ἀπεσταλμένοι τῶν ἄλλων ὀρθοδόξων κρατῶν πρόκειται νά φθάσουν στόν Ἄθω[142].

Μπρός στήν ἀπειλή τῆς διεθνοποίησης τοῦ Ἁγίου Ὄρους οἱ μοναχοί δέν ἔμειναν ἀδρανεῖς: μέ ἡμερομηνία 19 Αὐγούστου/3 Σεπτεμβρίου 1913 ἡ

140 Τό ὅλο ἔγγραφο δημοσιεύει ὁ ἀρχιμανδρίτης Βησσαρίων, ἡγούμενος τῆς μονῆς Γρηγορίου, στή μελέτη του «Οἱ ἀγῶνες τοῦ Ἁγίου Ὄρους κατὰ τῆς διεθνοποιήσεως αὐτοῦ», *Χρονικά τῆς Χαλκιδικῆς* 6, 1963, σελ. 179-180· βλ. τά ἄρθρα, μέ ἐλάχιστες διαφορές: Μυλωνάκος, *Σλάβοι*, σελ. 108. Ἡ περίοδος ἀπό τό 1913 καί τά ἑπόμενα δέκα χρόνια, ταραγμένη καί ἀβέβαιη ὡς πρός τό μέλλον τοῦ Ἄθω, ἔδωσε ἀφορμή γιά τήν ἔκδοση πολλῶν βιβλίων, φυλλαδίων καί ἄρθρων. Δέν ἀναφέρονται στίς σημειώσεις ἐδῶ παρά ἐλάχιστα, τά πιό ἀντιπροσωπευτικά τοῦ ἀθωνικοῦ πνεύματος.

141 Συνθήκη Λονδίνου: Ἀντωνόπουλος, *Συνταγμ. προστασία*, σελ. 83. Βουκουρεστίου: Μυλωνάκος, *Σλάβοι*, σελ. 114-115· βλ. ὅμως πρωτόκολλον ἀρ. 7: Ἀντωνόπουλος, *Συνταγμ. προστασία*, σελ. 84 καί Antonopoulos, *Condition internationale*, σελ. 395.

142 Γράμμα τῆς Ἐπιστασίας πρός τόν πατριάρχη Γερμανό (ἀχρονολόγητο, ἀρχές Ὀκτωβρίου 1913), δημοσιευμένο στό *Ἱερόν ψήφισμα*, σελ. 18-20· πρβλ. σελ. 18-19.

Κοινότητα ἀπευθύνει πρός τόν πρόεδρο τῆς πρεσβευτικῆς διάσκεψης τοῦ Λονδίνου ἕνα ὑπόμνημα ἀπό ἕξι κεφάλαια, ὑπογεγραμμένο ἀπό τούς εἴκοσι ἀντιπροσώπους (τοῦ Ρώσου συμπεριλαμβανομένου), τό ὁποῖο ἀφοῦ ὑποδεικνύει πώς σύμφωνα μέ ἀποστολικούς κανόνες καί πολιτικούς νόμους ἡ συγκυριαρχία εἶναι ἀδύνατη καί προσβάλλει τά δίκαια τῶν ἄλλων Δυνάμεων, ἀναλύει τή λειτουργία τοῦ καθεστῶτος, γενικά ἀπό τήν Κοινότητα καί τήν Ἐπιστασία, εἰδικά γιά κάθε μοναστήρι καί τά ἐξαρτήματά του[143]. Μέ ἐγκύκλιό της ἀπό 24 Σεπτεμβρίου, καλεῖ Ἔκτακτη Σύναξη, ἡ ὁποία στήν συνεδρίαση τῆς 2 Ὀκτωβρίου μέ ὁμοφωνία ἀποφάσισε: νά συνταχθεῖ ἕνα ἔγγραφο μέ τό ὄνομα «Ἱερόν Ψήφισμα»· νά ὑπογραφεῖ στό ναό τοῦ Πρωτάτου μπρός στήν εἰκόνα «Ἄξιον Ἐστί». Τό ψήφισμα συντάχθηκε τήν ἑπομένη, 3 Ὀκτωβρίου, καί ὑπογράφηκε μέ τήν καθορισμένη τελετή ἀπό τά 19 μέλη (ἐκτός τοῦ Ρώσου) τῆς τακτικῆς Σύναξης καί τά 19 τῆς Ἔκτακτης· περιέχει 10 ἄρθρα: μετά τήν ἔκφραση εὐγνωμοσύνης στόν Ὕψιστο καί τό βασιλέα Κωνσταντῖνο διατάσσει ὅτι ἡ ἑλληνική σημαία θά ἐξακολουθήσει νά κυματίζει σέ ὅλα τά ἱδρύματα τοῦ Ἄθω· κηρύσσει τό αὐτοδιοίκητο τοῦ μοναστηριακοῦ πολιτεύματος κάτω ἀπό τήν πνευματική δικαιοδοσία τοῦ πατριάρχη, στά πλαίσια πού διαγράφουν οἱ Γενικοί Κανονισμοί, καί ἀναγνωρίζει ὅτι ὅλα τά δικαιώματα τῆς Ὀθωμανικῆς αὐτοκρατορίας στό Ἅγιον Ὄρος ἔχουν μεταβιβαστεῖ πρός τό ἑλληνικό βασίλειο· ἀποκρούει κάθε ἰδέα «διεθνοποιήσεως ἤ οὐδετεροποιήσεως ἤ συγκυριαρχίας ἤ συμπροστασίας» καί θεωρεῖ τό Ὄρος ἀναπόσπαστο τμῆμα τοῦ ἑλληνικοῦ ἐδάφους· ἱκετεύει τίς κυβερνήσεις τῶν ὀρθοδόξων κρατῶν νά μήν συναινέσουν στήν ἰδέα τῆς συμπροστασίας καί νά ἀναγνωρίσουν τό δικαίωμα τῆς προστασίας στό ἑλληνικό βασίλειο· παρακαλεῖ τούς ἀντιπροσώπους τῶν Μεγάλων Δυνάμεων στή συνδιάσκεψη νά μήν πάρουν ἀποφάσεις ἱκανές νά δημιουργήσουν ἐπικίνδυνο θρησκευτικοπολιτικό ζήτημα· ἱκετεύει τό οἰκουμενικό πατριαρχεῖο νά ἐπέμβει γιά νά ἀποφευχθεῖ ἡ ἀλλοίωση τοῦ Ἁγιορειτικοῦ καθεστῶτος· διακηρύσσει ὅτι κάθε διεθνής πράξη ἤ ἀπόφαση πού ἀντιβαίνει στό παρόν θά συναντήσει τήν ἀντίδραση ὅλων τῶν γνησίων ἁγιορειτῶν μοναχῶν· δίνει ἐντολή στήν Ἐπιστασία νά διαβιβάσει τό πρωτότυπο τοῦ παρόντος στόν βασιλέα Κωνσταντῖνο καί ἀντίγραφα στή Μεγάλη Ἐκκλησία καί τούς ἀντιπροσώπους τῶν Ὀρθοδόξων κρατῶν στή διάσκεψη τοῦ Λονδίνου[144].

---

143 Ἔκδ. Μεταξάκη, *Ρωσική πολιτική*, σελ. 191-208. Ἤδη τόν Ἰούνιο τοῦ ἴδιου ἔτους τό οἰκουμενικό πατριαρχεῖο ἀπηύθυνε ἕνα ὑπόμνημα στή διάσκεψη μέ παρεμφερές περιεχόμενο: ἔκδοση *στό ἴδιο*, σελ. 185-190· Βαμβέτσος, σελ. 32-36.

144 Ἐκδόσεις: *Ἱερόν Ψήφισμα*, σελ. 5-10 : εἶναι ἡ πρώτη ἔκδοση, τέλη 1913, σύγχρονη μέ αὐτή τοῦ Μεταξάκη, *Ρωσική πολιτική*, σελ. 209-213· Βαμβέτσος, σελ. 37-39· Μυλωνάκος, *Σλάβοι*, σελ.

Τό πρωτόκολλο τῆς πρεσβευτικῆς συνδιάσκεψης πού ὑπογράφηκε στό Λονδίνο τόν Αὔγουστο 1913[145] κλείνει πρός μία λύση συμβιβαστική: τό Ὄρος εἶναι αὐτόνομο, ἀνεξάρτητο καί οὐδέτερο (αἴτημα ρωσικό)· διευθύνεται ἀπό τό Συμβούλιο τῶν εἴκοσι ἀντιπροσώπων· τά μοναστήρια μένουν ἰδιοκτῆτες τοῦ ἐδάφους (αἰτήματα ἁγιορειτῶν)· τό Ὄρος ἔχει δική του ἀστυνομική δύναμη· ἀπαγορεύεται ἡ στάθμευση πολεμικῶν πλοίων στόν Ἄθω· εἶναι ἐλεύθερη ἡ ἐγκατάσταση ὅλων τῶν ὀρθοδόξων μοναχῶν σέ ἐνοικιασμένα ἐδάφη[146].

Ὅπως τό πρόβλημα τῆς προστάτιδας δυνάμεως ἔχει μείνει ἀνοικτό, ἡ Ρωσική κυβέρνηση ἐξακολουθεῖ νά πιέζει γιά μιά λύση πιό συμφέρουσα στά σχέδιά της. Κατά τή διάρκεια διμερῶν διαπραγματεύσεων στήν Κωνσταντινούπολη τό 1914 ὁ Ρῶσος πρεσβευτής de Giers ἐνεχείρισε στόν Ἕλληνα συνάδελφό του ἕνα ὑπόμνημα πού περιέχει 7 ἄρθρα φανερά καί 6 μυστικά καί ἐπαναλαμβάνει τίς γνωστές ἀπαιτήσεις τῶν Ρώσων: σύμφωνα μέ τά φανερά ἄρθρα προτείνεται συγκυριαρχία Ἑλλάδος-Ρωσίας· σύμφωνα μέ τά ἐμπιστευτικά, ἀνοίγεται ὁ δρόμος γιά τήν ἀπόλυτη ἐξουσία τῶν Ρώσων στόν Ἄθω[147]. Τό ὑπόμνημα στάλθηκε καί στό Ὄρος, ἀλλά ἡ Κοινότητα ἀρνήθηκε νά τό ἐξετάσει.

Ἡ ἔκρηξη τοῦ πρώτου παγκοσμίου πολέμου τόν Αὔγουστο 1914 ἀνέστειλε προσωρινά τή Ρωσική ἀπειλή καί ἡ Ρωσική ἐπανάσταση τοῦ 1917 τήν ἀπέτρεψε ὁριστικά.

Μετά τή θύελλα τῶν πολέμων - βαλκανικῶν καί πρώτου παγκοσμίου - καί τήν ἀπομάκρυνση τοῦ Ρωσικοῦ κινδύνου[148], οἱ Ἁγιορεῖτες μπόρεσαν νά ἀσχο-

---

118-119· Βησσαρίων (βλ. σημ. 140), σελ. 193-194 (μέ ὅλη τήν προηγούμενη εἰδησεογραφία)· Μαμαλάκης, *Ἄθως*, σελ. 465-467.

145 Μυλωνάκος, *Σλάβοι*, σελ. 113. Ἡ ἀπόφαση γνωστοποιήθηκε στήν Ἑλληνική κυβέρνηση μόλις τόν Νοέμβριο 1913 καί δημοσιεύτηκε στήν Ἐφημερίδα τῆς Κυβερνήσεως στίς 14 τοῦ μηνός (*στό ἴδιο*, σελ. 114): Βαμβέτσος, σελ. 5-6.

146 Ἐκδόσεις τοῦ γαλλικοῦ κειμένου: Antonopoulos, *Condition internationale*, σελ. 392· Βαμβέτσος, σελ. 40· Ἰωακείμ Ἰβηρίτης, *Ἁγ. Πολιτεία*, σελ. 36-37. Ἑλληνική μετάφραση: Μεταξάκης, *Ρωσική πολιτική*, σελ. 178-179· Βαμβέτσος, σελ. 6-7· Κτενᾶς, *Ἅπαντα*, σελ. 888-890, στοιχ. ΚΖ· Μαμαλάκης, σελ. 467.

147 Ἔκδοση σέ ἑλληνική μετάφραση: Κτενᾶς, *Ἅπαντα*, σελ. 888-890, στοιχ. ΚΗ· περίληψη Μαμαλάκης, *Ἄθως*, σελ. 468-469, καί Ἀντωνόπουλος, *Συνταγμ. Προστασία*, σελ. 97-99. Τό γαλλικό κείμενο: Βαμβέτσος, σελ. 41-44 (σχόλια, σελ. 11-21)· ἐλεύθερη ἀπόδοσή του: Antonopoulos, *Condition internationale*, σελ. 393-394.

148 Τά ἄρθρα τῶν διαφόρων συνθηκῶν πού ἀφοροῦν τό Ἅγιον Ὄρος ἔχουν δημοσιευθεῖ πολλές φορές (βλ. παραπάνω, σημ. 139, 141, 146 καί παρακάτω, σημ. 150). Περίληψή τους καί σχόλια, Ἀντωνόπουλος, *Συνταγμ. Προστασία*, σελ. 83-99.

ληθοῦν ἤρεμα μέ τήν σύνταξη ἑνός νέου καταστατικοῦ πού θά λάμβανε ὑπόψη τή νέα πραγματικότητα, ἀλλά καί θά ἀκολουθοῦσε καί θά προέκτεινε τά παλαιά ἤθη, ἔθμα καί κανόνες τοῦ Ὄρους. Τό 1918, ὕστερα ἀπό αἴτηση τῆς Ἱερᾶς Κοινότητας, ἦλθε στόν Ἄθω ὡς νομικός σύμβουλος ὁ Ἰ. Στεφανίδης. Ὑπό τήν προεδρία του καί μέ τή συνεργασία του συντάχθηκε ἀπό ἐπιτροπή Ἁγιορειτῶν ὁ λεγόμενος «Θεμελιώδης Χάρτης τοῦ Ἁγίου Ὄρους»: συζητήθηκαν καί ψηφίστηκαν περίπου ἑκατό ἄρθρα, ἐνῶ ἡ ψήφιση τῶν ὑπολοίπων ἀναβλήθηκε ἐπ' ἀόριστο. Ἀκολουθώντας τό πρωτόκολλο τοῦ Λονδίνου, πού διεθνῶς διεῖπε ἀκόμη τό καθεστώς τοῦ Ἄθω, τό Ἅγιον Ὄρος «ἀποτελεῖ αὐτόνομον οὐδετέραν καὶ ἀνεξάρτητον πολιτείαν». Ὁ Χάρτης ἀκολουθεῖ σέ πολλά σημεῖα τούς Γενικούς Κανονισμούς, περιέχει ὅμως καί καινοτομίες, ὅπως ἡ πρόσληψη ἑνός νομικοῦ καί οἰκονομικοῦ συμβούλου καί ἡ σύσταση οἰκονομικοῦ συμβουλίου γιά τήν ἐκμετάλλευση τῶν δασῶν[149].

Ἡ συνθήκη τῶν Σεβρῶν τό 1920 καί τό πρωτόκολλο τῆς Λωζάννης τό 1923, ἀναγνώρισαν τελειωτικά τήν ἑλληνική ἐπικυριαρχία στό Ἅγιον Ὄρος, ὑπό τόν ὅρο ὅτι ἡ Ἑλλάδα ἀναγνωρίζει καί σέβεται τίς ἐλευθερίες τῶν μή ἑλληνικῆς καταγωγῆς μοναχῶν[150]. Ἤδη τό 1921, ἡ Κοινότητα ἀνέθεσε σέ τετραμελῆ ἐπιτροπή τήν ἐπανεξέταση τῶν Γενικῶν Κανονισμῶν τοῦ 1912, ἡ ὁποία συνέταξε τό σχέδιο τοῦ λεγομένου «Γενικοῦ Κανονισμοῦ»· τό ἄρθρο 4 ἀσχολεῖται μέ τό ζήτημα τῆς ὑπηκοότητας τῶν μοναχῶν καί ἀναγνώρισε ὅτι ὅλοι οἱ μονάζοντες στό Ὄρος, ἀνεξάρτητα τῆς προέλευσής τους, λογίζονται «ὡς κεκτημένοι τὴν ἑλληνικὴν ὑπηκοότητα»[151].

Μέ τήν ὁριστική σύναψη τῆς εἰρήνης στή Λωζάννη (1923) οἱ Ἁγιορεῖτες ἔσπευσαν μέ νέα πενταμελῆ ἐπιτροπή πού συστάθηκε τό Μάϊο τοῦ 1924[152], νά συμπληρώσουν καί νά παρουσιάσουν μέσα σέ λίγες μέρες τό σχέδιο τοῦ νέου

---

149 Σχετικά μέ τόν Θεμελιώδη Χάρτη, πρβλ. *Προσοχή στό Ἅγιον Ὄρος*, σελ. 37-38: Εἰσηγητικὴ Ἔκθεσις. Ὁ θεμελιώδης Χάρτης= Κτενᾶς, *Ἅπαντα*, σελ. 368-369. Ἁπλή ἀναφορά: Παναγωτάκος, *Ὀργάνωσις*, σελ. 103 σημ. 1· Doens-Παπαστάθης, Εἰσαγωγή, σελ. 193.

150 Ἄρθρα 13, 27 καί 84 τῆς συνθήκης τῶν Σεβρῶν, τά ὁποῖα ἐπικύρωσε ἡ συνθήκη τῆς Λωζάννης: πρβλ. Antonopoulos, *Condition internationale*, σελ. 395-397 μέ τήν παλαιότερη βιβλιογραφία.

151 Πρβλ. *Προσοχή στό Ἅγιον Ὄρος*, σελ. 38: «Εἰσηγητικὴ Ἔκθεσις. Ὁ Γενικὸς Κανονισμός». Ὁ ὅρος αὐτός ἀποτελεῖ τό ἄρθρο 6 τοῦ Καταστατικοῦ Χάρτη.

152 Τά μέλη τῆς ἐπιτροπῆς: Ἀρκάδιος ἱεροδιάκονος Βατοπεδινός, Ἀθανάσιος ἀρχιμανδρίτης Παντοκρατορινός, Εὐδόκιμος προηγούμενος Ξηροποταμινός, Γέρων Εὐλόγιος Ἁγιοπαυλίτης, Γέρων Βαρλαάμ Γρηγοριάτης. Τά ὀνόματα δίνονται στή συνέχεια τοῦ ἄρθρου 188 τοῦ Κ. Χ.· Μαμαλάκης, *Ἄθως*, σελ. 526.

Καταστατικοῦ Χάρτου: τά 188 ἄρθρα του ψηφίστηκαν στήν Μεγάλη Διπλή Ἔκτακτη Σύναξη στίς 10 Μαΐου ἀπό τούς ἀντιπροσώπους 19 μοναστηριῶν (ἐκτός τοῦ Ρωσικοῦ)[153]. Τό κείμενο ὑποβλήθηκε γιά ἐπικύρωση στήν ἑλληνική κυβέρνηση, ἡ ὁποία τό παρέπεμψε πρός ἐξέταση σέ ἑξαμελή ἐπιτροπή πού συστάθηκε ὑπό τήν προεδρία τοῦ Ἀθ. Εὐταξία τόν Ἰούλιο 1924. Πρίν ἀπό τήν κρίση τῆς ἐπιτροπῆς, ἡ ἁγιορειτική ἀντιπροσωπεία πού εἶχε παρουσιάσει τό σχέδιο τοῦ χάρτη, εὑρισκόμενη ἀκόμη στήν Ἀθήνα, συνέταξε τόν Ὀκτώβριο 1924 καί ὑπέβαλε ἕνα ὑπόμνημα ἐπεξηγηματικό τῶν ἄρθρων 161-166[154], πού ἦσαν σχετικά μέ τά κελλιά καί μέ τό δημιουργημένο κελλιωτικό ζήτημα καί τήν καλούμενη «κελλιωτική ἀδελφότητα»[155]. Ἡ συσταθεῖσα ἐπιτροπή ὑπό τήν προεδρία τοῦ Ἀθ. Εὐταξία, μέ μέλη τόν Ἀμ. Ἀλμβιζάτο, τόν Ἀλ. Παπαδόπουλο, τόν Δ. Πετρακάκο, τόν Ἰ. Στεφανίδη καί τόν Ἰ. Τράκα, καί τήν συμμετοχή δύο ἐκπροσώπων τῆς Κοινότητας, τόν Ἀθανάσιο Παντοκρατορινό καί τόν Εὐλόγιο Ἁγιοπαυλίτη[156] ἔκρινε στήν Εἰσηγητική της Ἔκθεση τό σχέδιο ἀνεπαρκές καί σέ ὁρισμένα σημεῖα ἀόριστο καί συνέταξε: α) Σχέδιο ψηφίσματος τῆς Ἐθνοσυνελεύσεως πού ἐπικύρωνε τόν Καταστατικό Χάρτη, καί ἑπομένως τά προνόμια τοῦ Ἄθω καί τήν ἐπικυριαρχία τοῦ ἑλληνικοῦ κράτους· β) Σχέδιο νόμου πού συμπλήρωνε τά κενά τοῦ Χάρτη. Ὁ οἰκουμενικός πατριάρχης Βασίλειος Γ' μέ ἔγγραφο ὑπ'ἀρ. 1861 τοῦ 1925 ἐνέκρινε τά δύο σχέδια καί ἡ Κοινότητα ἀποδέχτηκε τίς τροποποιήσεις. Τό σχέδιο συμπληρώσεως τοῦ Χάρτη κυρώθηκε μέ Νομοθετικό Διάταγμα τῆς 10/9/1926, τό ὁποῖο μαζί μέ τόν Καταστατικό Χάρτη περιλήφθηκε στό προσωρινό Σύνταγμα πού δημοσιεύθηκε στίς 22 Σεπτεμβρίου (ἄρθρα 106-109)· οἱ διατάξεις αὐτές ἐπαναλήφθηκαν καί στό Σύνταγμα τῆς Ἑλληνικῆς Δημοκρατίας τοῦ 1927 (ἄρθρα 109-112)[157]. Ἡ

153 Πρβλ. Παναγιωτάκος, *Ὀργάνωσις*, σελ. 107 καί σημ. 2 (στήν ἀρχή). Ἐκδόσεις: Πετρακάκος, *Πολίτευμα*, σελ. 164-198· *Προσοχή στό Ἅγιον Ὄρος*, σελ. 63-98· Ἱερά Κοινότης Ἁγίου Ὄρους Ἄθω, Ἅγιον Ὄρος 1931. Ἀκολούθησαν πολλές ἄλλες ἐκδόσεις, τελευταία τοῦ Δ. Τσάμη, *Ἅγιον Ὄρος. Προσέγγιση στήν πρόσφατη ἱστορία του*, Θεσσαλονίκη 1993, σελ. 191-241. Ἐκτενής ἀνάλυση καί σχόλια: Παναγιωτάκος, *Ὀργάνωσις*, σελ. 112-185. Βλ. καί «Εἰσηγητική Ἔκθεσις» στό *Προσοχή στό Ἅγιον Ὄρος*, σελ. 1-48 και παρακάτω, περιληπτικά, σελ. 126-138· Ἀντωνόπουλος, *Συνταγμ. προστασία*, σελ. 125 κ. ἑ.

154 Ἔκδ. Πετρακάκου, *Πολίτευμα*, σελ. 199-211.

155 Πρβλ. τήν εἰσαγωγή τοῦ Ὑπομνήματος (Πετρακάκος, *Πολίτευμα*, σελ. 199). Ἡ ἀδελφότητα αὐτή, τήν ὁποία ἡ Κοινότητα κηρύσσει παράνομη ἤδη τό 1924, κηρύχτηκε ἐπίσης παράνομη καί καταργημένη ἀπό τόν πατριάρχη τό 1929 (Χρήστου, *Ἅγιον Ὄρος*, σελ. 318 καί σημ. 4.)

156 Πρβλ. *Προσοχή στό Ἅγιον Ὄρος*, σελ. γ· Doens-Παπαστάθης, σελ. 193.

157 Γιά τίς ἐλλείψεις τοῦ Κ. Χ., βλ. «Εἰσηγητική Ἔκθεσις», σελ. 39, 41-42 καί παρακάτω, σελ. 129-130, 132. Σχετικά μέ τίς ἐξελίξεις τοῦ 1924-1927, πρβλ. περιληπτικά Παναγιωτάκος, *Ὀργά-*

πολιτική καί πολιτειακή ἀστάθεια τοῦ ἑλληνικοῦ κράτους, ὅπως καί οἱ διάφορες ἀναστολές τοῦ ἰσχύοντος κάθε φορά συντάγματος, δέν δημιούργησαν πρόβλημα σχετικά μέ τή θέση τοῦ Ἁγίου Ὄρους: οἱ ἑκάστοτε κυβερνήσεις εἶχαν τουλάχιστο τήν πρόνοια νά κρατοῦν ἐν ἰσχύι τίς διατάξεις τοῦ Συντάγματος τίς ἀναφερόμενες στό Ἅγιον Ὄρος. Οἱ διατάξεις διατηρήθηκαν καί στά Συντάγματα τοῦ 1952 (ἄρθρο 103) καί τοῦ 1968 (ἄρθρο 122)[158].

Ἀπό νομική καί συνταγματική ἄποψη, πρίν τήν ψήφιση τοῦ νέου Συντάγματος τοῦ 1927, θά ἔπρεπε τά δύο σκέλη πού θεμελίωναν τό καθεστώς τοῦ Ἁγίου Ὄρους νά συγχωνευτοῦν σέ ἕνα ἑνιαῖο σύνολο, ὅπως φάνηκε ἀναγκαῖο σέ πολλούς εἰδικούς[159]. Τίποτα τέτοιο ὅμως δέν ἔγινε, καί τό κείμενο τοῦ Καταστατικοῦ Χάρτη πού δημοσιεύεται ἀκόμα καί σήμερα παραμένει τό σχέδιο τῆς Κοινότητας τοῦ 1924[160].

Σύμφωνα μέ τόν Καταστατικό Χάρτη, τό Ἅγιον Ὄρος ὑπόκειται πνευματικά στόν οἰκουμενικό πατριάρχη, ἐξάρτηση πού ἄρχισε στίς ἀρχές τοῦ 14ου αἰώνα καί συνεχίστηκε στήν περίοδο τῆς Τουρκοκρατίας, ἄν καί μέ πολλές ἀντιδικίες σέ ὁρισμένες δύσκολες ἐποχές, καί ἐξακολουθεῖ μέχρι σήμερα[161].

νωσις, σελ. 107-110· Doens-Παπαστάθης, σελ. 193-194. Ἡ εἰσηγητική Ἔκθεση, τά σχέδια ψηφίσματος καί Ν. Διατάγματος ὅπως καί ὁ Καταστατικός Χάρτης δημοσιεύθηκαν στό: *Προσοχή στό Ἅγιον Ὄρος*, σελ. 1-48, 49-50, 51-62, 63-98· τό πατριαρχικό γράμμα καί ἡ ἀπάντηση τῆς Κοινότητος, *στό ἴδιο*, σελ. δ'-ε' καί Παναγωτάκος, *Ὀργάνωσις*, σελ. 108 σημ.· τά κεφ. ΙΙ καί ΙΙΙ τῆς Εἰσηγητικῆς Ἐκθέσεως, στόν Κτενᾶ, *Ἅπαντα*, σελ. 368-380. Τό Ν. Διάταγμα δημοσίευσε πρόσφατα ὁ Δ. Τσάμης (βλ. σημ. 153), σελ. 177-190. Ὁ Νόμος ἐπαναλαμβάνει τά ἄρθρα ὅπως ἀκριβῶς ἔχουν διατυπωθεῖ ἀπό τήν Ἐπιτροπή· τοῦ ἄρθρου 1 προηγεῖται ἡ φράση: «Ἑλληνική Δημοκρατία. Προτάσει τοῦ Ἡμετέρου Ὑπουργικοῦ Συμβουλίου ἀπεφασίσαμεν καὶ διατάσσομεν»· τό τελευταῖο ἄρθρο 44 συμπληρώνεται ὡς ἑξῆς: «Ἡ ἰσχὺς τοῦ παρόντος Νομοθετικοῦ Διατάγματος ἄρχεται ἀπὸ τῆς ἑπομένης τῆς ἰσχύος τοῦ δημοσιευθησομένου Συντάγματος». Ἀκολουθεῖ ἡ ἡμερομηνία καί ὑπογράφεται ἀπό τόν Πρόεδρο τῆς Δημοκρατίας Παῦλο Κουντουριώτη καί τά μέλη τοῦ Ὑπουργικοῦ Συμβουλίου. - Στά Κείμενα παρακάτω δημοσιεύονται: μέρος τῆς Εἰσηγητικῆς Ἐκθέσεως καί τά Σχέδια τοῦ Ψηφίσματος καί τοῦ Νομοθετικοῦ διατάγματος, σελ. 126 -138, 139-140, 141-152.

158 Πρβλ. Doens-Παπαστάθης, σελ. 194, καί 210 ἀρ. 122, σελ. 213 ἀρ. 139.

159 «Ἀνάγκη νομοθετικοῦ διακανονισμοῦ τοῦ καθεστῶτος αὐτοῦ»: ὑπότιτλος στό *Προσοχή στό Ἅγιον Ὄρος*· Doens-Παπαστάθης, σελ. 194 στ. 22: «... παρὰ τὴν συνταγματικὴν ἐπιταγήν».

160 Πρβλ. π. χ τό κείμενο πού δημοσιεύει πρόσφατα ὁ Δ. Τσάμης *ὅ. π.* (βλ. σημ. 153), σελ. 191-241.

161 Γιά τή βυζαντινή ἐποχή, πρβλ. Παπαχρυσάνθου, *Ἀθωνικός Μοναχισμός*, σελ. 321-326· γιά τήν Τουρκοκρατία, βλ. παραπάνω· γιά τή νεώτερη πραγματικότητα, πρβλ. Χρήστου, *Ἅγιον Ὄρος*, σελ. 331-336 καί Τσάμης, *ὅ. π.*

Πολιτειακά ὁ Ἄθως τελεῖ ὑπό τήν ἐπικυριαρχία τοῦ ἑλληνικοῦ κράτους, τό ὁποῖο διορίζει ἕναν ἀντιπρόσωπό του μέ τόν τίτλο «Διοικητής τοῦ Ἁγίου Ὄρους»[162]. Τό ἄρθρο τοῦ Καταστατικοῦ Χάρτη πού ἀναφέρεται στόν ἀντιπρόσωπο τοῦ Ἑλληνικοῦ κράτους εἶναι γενικό καί ἀόριστο· οἱ δικαιοδοσίες του διευκρινίστηκαν στό ἄρθρο 122 τοῦ Συντάγματος τοῦ 1968[163]. Ἡ ἔμπρακτη ἐξουσία ἀσκεῖται ἀπό τήν Ἱερά Κοινότητα καί τό ἐκτελεστικό της ὄργανο, τήν Ἐπιστασία: οἱ ἁρμοδιότητές τους εἶναι περίπου οἱ ἴδιες μέ αὐτές τοῦ πρώτου καί τοῦ συμβουλίου του τῆς βυζαντινῆς ἐποχῆς: διοικητικές, ἐκτελεστικές, δικαστικές[164].

162 Ὁ πρῶτος ἀντιπρόσωπος εἶναι ἤδη γνωστός τό 1927: Doens-Παπαστάθης, σελ. 195 σημ.

163 Πρβλ. Doens-Παπαστάθης, σελ. 194· Χρήστου, *ὅ. π.*, σελ. 331-332.

164 Μιά ἀπόπειρα βασικῆς ἀλλαγῆς τοῦ Ἁγιορειτικοῦ καθεστῶτος ἔγινε τό 1944 (πρβλ. Δ. Τσάμης, *ὅ. π.*, σελ. 103-167, τό κείμενο τοῦ νέου χάρτη, Κ. Χ. 44, σελ. 242-297), καί δύο λιγότερο δραστικές τό 1969 καί τό 1984 (*στό ἴδιο*, σελ. 168).

ΤΑ ΕΓΓΡΑΦΑ

ΣΗΜΕΙΩΣΗ: Τά παλαιότερα κείμενα (ἀρ. 1, 2, 3 καὶ 5) μᾶς ἔχουν παραδοθεῖ σέ χειρόγραφα, ἀντίγραφα τῶν πρωτοτύπων, τά ὁποῖα περιέχουν ἀρκετά σημαντικά λάθη, ὀρθογραφικά, γραμματικά, συντακτικά καί ἄλλα, χωρίς νά εἶναι δυνατό νά προσδιορισθεῖ ποιά ὀφείλονται στούς ἀντιγραφεῖς καί ποιά στούς ἴδιους τούς ἐκδότες. Πῆ αὐτό οἱ ἐπεμβάσεις μας ὑπῆρξαν συντηρητικές: προσθέσαμε, μέσα σέ ἀγκύλες, λίγες λέξεις ἀπαραίτητες γιά τήν κατανόηση τοῦ κειμένου, διορθώσαμε σωπηρά ὅλα τά ὀρθογραφικά λάθη, ἐλάχιστα γραμματικά καί καθόλου τά συντακτικά (ἀσφαλῶς ὀφείλονται στούς συγγραφεῖς), καί ἀλλάξαμε τρεῖς ἐκφράσεις, οἱ ὁποῖες καθιστοῦσαν τό κείμενο ἀκατάληπτο: σελ. 57 στ. 14 «παρεπομίας (sic) ταύταις ἀραῖς»· σελ. 69 στ. 9 «ἀτόπιμον» (ἀπό τό ἀτοπία;)· καὶ σελ. 76 στ. 6 «ἔλλαττον» (sic, ἀντί ἔλαθον).

1. Σιγίλλιο τοῦ πατριάρχη Ἰωακείμ (Δεκέμβριος 1498)

Ἰωακεὶμ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τιμιώτατοι καὶ καθηγούμενοι τῶν κατὰ τὸ Ἅγιον Ὄρος ἁγίων καὶ σεβασμίων μονῶν καὶ πάντες οἱ ἐνασκούμενοι αὐταῖς ὁσιώτατοι ἱερομόναχοι καὶ εὐλαβέστατοι μοναχοί, ὅσοι τε ἐντὸς τοῖς μοναστηρίοις καὶ ἐκτὸς ἐνασκούμενοι τοῖς ἑκασταχοῦ σεμνείοις, κατὰ πνεῦμα υἱοὶ ἀγαπητοὶ τῆς ἡμῶν μετριότητος, χάρις ὑμῖν εἴη καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ Θεοῦ παντοκράτορος. Τῇ ἡμῶν συνοδικῶς μετριότητι ἐνεχειρίσθη ὑπὸ τοῦ τιμιωτάτου πρώτου γράμμα σιγιλλιῶδες παλαιόν, νόμον καὶ τύπον, ὡς εἰπεῖν, ἐμπεριέχον τοῦ τοιούτου Ἁγίου Ὄρους, ὅπερ ἀναπτύξαντες καὶ ἀναγνόντες καὶ ἐθαυμάσαμεν τήν τε τῶν ἐκτεθέντων αὐτῶν ἁγιότητα θεσπεσίων καὶ ἁγίων πατέρων ἐκείνων, οὕτω κοινῶς τῆς σωτηρίας ἁπάντων τῶν αὐτόθι σὺν Θεῷ πεφρονηκότων, τοιουτοτρόπως ὡς οὐκ ἐξῆν ἄμεινον, καὶ τῆς ὑμῶν ραθυμίας καὶ ἀμελείας τοσοῦτον καιρὸν ὑπὸ παραβάσεις τοιαύτας καὶ τὰς παρεπομένας ταύταις ἀρὰς ὄντων, καὶ οὔπω ἀνανεύσαντες. Τί γὰρ ὄφελος ἐν ἀνθρώποις καθ' ἅπαξ τὸν κόσμον ἀπολιπόντων καὶ τὰς σάρκας ματαίως κατατηκόντων ἐπὶ σκοπῷ σωτηρίας, οὖσι δὲ πατρικαῖς ἀραῖς καθυποβεβλημένοις καὶ ἀναθέμασι, κ' ἀντεῦθεν κεχωρισμένοις ἀπὸ Θεοῦ ζῶντος; Διὰ τοῦτο ἡ καθολικὴ ἐκκλησία αὕτη καὶ μήτηρ πάντων κοινῶς τῶν χριστιανῶν ὀφείλουσα πᾶσι παραινεῖν τὰ πρὸς σωτηρίαν συντείνοντα, μάλιστα τοῦτο καὶ ἔτι ὑμῖν πλέον τῶν ἄλλων ὀφείλει, ἅτε ἐκλελεγμένοις οὖσι καὶ ἐπιστήμονα σκοπὸν ἔχουσι τὴν σωτηρίαν περιποιεῖσθαι ἑαυτῶν καὶ ἑτέρων πάντων χριστιανῶν ὑπερμεσιτεύειν πρὸς Θεόν. Ἐπεὶ οὖν τὸ τοιοῦτον καὶ ἡμεῖς νῦν εἴδομεν σιγίλλιον, ὀφείλομεν, ὡς εἴρηται, ὑπομνῆσαι ὑμᾶς περὶ αὐτοῦ, ἵνα τὴν ἁμαρτίαν ἀποσκευασώμεθα παραινέσαντες τὸ προσῆκον καὶ ἔχωμεν λέγειν πρός τε Θεὸν καὶ ἀνθρώπους τό, ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. Τοίνυν παύθητε ἀναγκαίως εἰς τοὺς τοιούτους ὅρους τῶν ἁγίων πατέρων καὶ κοινῶς συναχθέντες σκέψασθε πνευματικῶς καὶ καταπτήσσετε ποῦ κεῖσθε, ἐν τίσιν ἀφορισμοῖς καὶ ἀραῖς καὶ ἀναθέμασιν, ἐξ ὧν τὸν παραβάντα μηδὲ μαρτυρίου αἷμα τῆς κολάσεως ἐξᾶραι δύναται· σκέψασθε, ἀδελφοὶ καὶ οἱ ἐν Χριστῷ, σκέψασθε ἀκριβῶς τὸ πρᾶγμα καὶ ἀπελάσαντες μακρὰν πάντα τῦφον καὶ ἀλαζονείαν, ἥτις οὐ μόνον οὐκ ἀνθρώποις χρηστοῖς ὑποτάσσεται ἀλλ'οὐδὲ αὐτῷ τῷ Θεῷ, καὶ ἀναλαβόντες τὴν ἐν Χριστῷ ταπείνωσιν, ἥτις κατὰ τὸν ἀπόστολον

ὑποτάσσεται πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, ἐπιστρέψατε εἰς τοὺς τοιούτους ἁγίους ὅρους, ἐπιστρέψατε καί, βάθρον καὶ ἀρχὴν θέντες αὖθις κατὰ τὸν θεσπέσιον Ἀντώνιον, ἐνεργεῖτε ὡς φιλεργὸς μέλισσα τὴν σωτηρίαν τὴν ὑμετέραν, τῇ ἄνωθεν χάριτι πηδαλιουχούμενοι. Μαρτυρόμεθα γὰρ ὑμῖν τὸν ἕνα μὲν τῇ οὐσίᾳ Θεόν, τρισσούμενον δὲ τοῖς προσώποις καὶ ταῖς ἰδιότησιν καὶ τοὺς αὐτοὺς θείους νόας καὶ λειτουργούς, ὅτι εἰ μὴ ἐπιστρέψετε εἰς τὰ ὁροθετημένα ὑμῖν ἐν τῷ νῦν σιγιλλίῳ τῶν ἁγίων ἐκείνων πατέρων, ὅπερ θεόθεν κινούμενος ὁ ὁσιώτατος Πρῶτος ἡμῖν ὑπέδειξεν, ὅλα ἐστὶν μάταια, κἂν εἴ τι παρεργάζεσθε, σκληραγωγούμενα· καὶ ταῦτα μὲν οὕτως. Ἐπεὶ δὲ τὸ παρόν τι σιγίλλιον μετὰ τῶν ἄλλων κεφαλαίων καὶ τοῦτο περιέχει, τὸ ἐντεῦθεν χειροτονεῖσθαι τόν τε ὁσιώτατον Πρῶτον, καὶ τὸν τῆς θείας Λαύρας ὁσιώτατον ἡγούμενον, ἀνάγκη ἀπὸ τούτου ποιήσασθαι τὴν ἀρχήν, εἶτα τὰ ἐφεξῆς, τῶν τε ἀγενείων καὶ τῶν ἑτέρων· ἅπαντα γὰρ ταῦτα κατεπατήθη ἀφ' ὑμῶν. Ὁ οὖν ὁσιώτατος Πρῶτος καὶ οἰκόθεν κατανοήσας τὸ βάρος, ἐν ᾧ κεῖται, καὶ ὑφ'ὑμῶν ἐπεξεργαστικότερον μαθών, καὶ οἱ μετ'αὐτοῦ ἀδελφοὶ τὴν ἄγνοιαν ὁμολογήσαντες καὶ τὸν τῆς ταπεινώσεως καθηγητὴν μόνον Χριστὸν τὸν Θεὸν ἡμῶν ἐν ψυχῇ ἔχοντες, ὑπετάγησαν αὐτῷ τε καὶ τῇ αὐτοῦ Ἐκκλησίᾳ· διὸ καὶ συνεχωρήσαμεν αὐτοῖς ἐν ἁγίῳ πνεύματι. Τὸ αὐτὸ τοῦτο καὶ πρὸς ὑμᾶς, ἀδελφοὶ καὶ ἐν Χριστῷ υἱοί, ἀνακηρύττοντες κοινῶς καὶ καθολικῶς ἀποφαινόμεθα, ὁποῖα τῶν αὐτόθε μοναστηρίων ἐπιστρέψει εἰς τοὺς ἁγίους τούσδε τῶν πατέρων ὅρους καὶ τηρήσει αὐτούς, καὶ ἀγενείους οὐκ εἰσάξει πλέον, ἀλλὰ καὶ τοὺς ὄντας ἐξελάσει καὶ τὰ ἄλλα τηρήσει, τοὺς τοιούτους πάντας τοὺς τηρήσοντας ἔχομεν εὐλογημένους καὶ συγκεχωρημένους ἐν ἁγίῳ πνεύματι ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ ἀπὸ τῆς προτέρων ἀγνοίας καὶ ἐλευθέρους· ὅσοι δὲ μένουσιν ἐν τῇ τῶν ὅρων παραβάσει καὶ μήτε τῇ Ἐκκλησίᾳ ταύτῃ ὑποταγῶσι κατὰ τοὺς ὅρους, μήτε τὰ ἄλλα τηρήσωσι, ἀλλὰ καὶ μετὰ τὴν ἡμῶν παραίνεσιν καταφρονήσουσιν, τοὺς τοιούτους πάντας ὑποβάλλομεν τοῖς ἀφορισμοῖς καὶ ταῖς ἀραῖς καὶ ἀναθέμασι τῶν πατέρων, καθὼς ἐν τῷ σιγιλλίῳ ἀποφαίνονται, καὶ ἡμεῖς δὲ ὁμοίως ἀφορισμένους ἔχομεν αἰωνίως ἀπὸ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀδιαιρέτου καὶ ἀσυγχύτου Τριάδος τοῦ ἑνὸς τῇ οὐσίᾳ παντοκράτορος τῶν ὅλων Θεοῦ ἡμῶν. Οὕτως ἐν ἁγίῳ πνεύματι ἀποφαινόμεθα· ταῦτα οὖν εἰδότες τηρήσατε τὸ σιγίλλιον, ὅπερ καὶ ἡμεῖς ἐβεβαιώσαμεν ἐν ταῖς τοιαύταις ἀποφάσεσι, καὶ τηρήσατε ἔργοις καὶ λόγοις, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ πάντων ἡμῶν.

Μηνὶ Δεκεμβρίῳ ἰνδικτιῶνος βας.

2. Σιγίλλιο τοῦ πατριάρχη Ἱερεμία Β΄ (Σεπτέμβριος 1574)

† Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Ἐπειδὴ τῆς ἡμῶν μετριότητος τὴν πρὸς δύσιν καὶ Πελοπόννησον πέρισυ κατερχομένης ὁδόν, καὶ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Θεσσαλονίκης διατριβούσης, καὶ τὰς ἑορτὰς τῶν χριστουγέννων ἑορταζούσης, ἔφθασε θεόθεν εἰπεῖν καὶ ἡνώθη ἡμῖν ἐκεῖ ὁ ἁγιώτατος πάπας καὶ πατριάρχης Ἀλεξανδρείας κὺρ Σίλβεστρος, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καὶ ἡμέρας ἱκανὰς ἡμῖν συγγενόμενος καὶ συνομιλήσας, μετὰ θελήματος καὶ γνώμης ἡμετέρας ἔλαβεν ἄδειαν ἵνα ἀπελθὼν εἰς τὸ Ἁγιώνυμον Ὄρος, ὡς ἐβούλετο καὶ διὰ μελέτης εἶχε τοῦ προσκυνῆσαι τὰ ἐκεῖ σεβάσμια μοναστήρια, ἐξέτασιν ποιήσηται καὶ διορθώσῃ, καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαταστήσῃ πάσας τὰς διαφοράς, διενέξεις καὶ ἀμφιβολίας πάντων τῶν ἐκεῖσε ἐνασκουμένων, καὶ καταπαύσῃ μὲν καὶ κατασβέσῃ ἅπαν τὸ ἀναφυόμενον σκάνδαλον, εἰρήνην δὲ ἀντεισάξῃ καὶ ἐμφυτεύσῃ σταθηράν, ὡς τοῦ εἰρηνάρχου Χριστοῦ μαθητής, καὶ ἰατρεύειν τὰ τοιαῦτα πεπειραμένος καὶ ἐξοικονομεῖν δοκιμώτατος· ἣν δὴ κρίσιν αὐτοῦ καὶ διόρθωσιν, ἣν ἂν ποιήσηται, ἔστερξαν βεβαίαν ἔσεσθαι καὶ οἱ ἐν Θεσσαλονίκῃ τότε εὑρεθέντες πρωτεύοντες τῶν μοναστηρίων τοῦ Ἁγίου Ὄρους, τήν τε ἡμῶν μετριότητα ἔκτοτε ἠξίωσαν τὸ κῦρος δοῦναι καὶ ἐπασφαλίσασθαι ὅσα ἄν τυπώσοι καὶ συμπεράνοι ὁ διαληφθεὶς ἁγιώτατος πατριάρχης. Ἰδοὺ ὅτι σὺν Θεῷ ἀπῆλθε σωματικῶς εἰς τὸ Ἁγιώνυμον Ὄρος, καὶ καιρὸν ἱκανὸν ἐνδιατρίψας, μετὰ τῶν ἄλλων, ὧν διωρθώσατο, καὶ κοινοβιακῶς ζῆν καὶ διάγειν ἐρρυθμίσατο ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, ἀποκαταστήσας καὶ τὸ θειότατον μοναστήριον τῆς ἱερᾶς Λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ κοινόβιον καθαρόν, ἐκ πολλῶν χρόνων ἰδιόρρυθμον οὐ καλῶς διαρκέσαν, νῦν δὲ πάλιν κοινοβιακῶς διάγειν ἐκτελέσας, ὡς εἴρηται, ὡς καὶ καταρχὰς ὁ ἱερὸς αὐτῆς κτήτωρ ὡρίσατο καὶ οἱ μετ᾽αὐτὸν ἐφυλάξαντο, ἐθεάσατο παρούσης πάσης τῆς ἐκεῖ ἱερᾶς Συνάξεως, τοῦ τε ὁσιωτάτου Πρώτου, τῶν σεβασμίων καθηγουμένων, τῶν λοιπῶν ἐνασκουμένων, ἀλλὰ δὴ καὶ τοῦ κατὰ τόπον θεοφιλεστάτου [ἐπισκόπου] Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους, καὶ ἀνέγνω τά τε σεπτὰ χρυσόβουλλα τῶν ἀοιδίμων βασιλέων καὶ τῶν ἁγιωτάτων πατριαρχῶν σιγιλλιώδη τίμα γράμμα-

τα, τὰ κατὰ καιροὺς δοθέντα αὐτοῖς περὶ τοῦ πῶς δεῖ διάγειν αὐτούς, τίνα τε ποιεῖν εὐλόγως καὶ συμφερόντως καὶ ἐπ' ὠφελείᾳ καὶ τίνων ἀπέχεσθαι, ὡς ἐπιβλαβῶν καὶ μὴ συμφερόντων αὐτοῖς τοῖς θείως καὶ ἐναρέτως πολιτεύεσθαι ὀφείλουσιν, ὡς κανονικὸν καὶ εὔλογον, Θεῷ τε φίλον καὶ ὡς τὰς συνθήκας δεδώκασιν· ἐπανελθὼν δὲ ἀπὸ τοῦ Ἁγίου τούτου Ὄρους, καὶ ἐνωθεὶς πάλιν ἡμῖν ἐν Κωνσταντινουπόλει ὁ ρηθεὶς ἁγιώτατος πατριάρχης Ἀλεξανδρείας ἀνήνεγκε καὶ ἡμῖν, ἐπιστώσατο ταῦτα πάντα, τῆς φήμης καὶ τῆς ἀληθείας καὶ ἄλλων προσώπων προμεμαρτυρηκότων, ὅσα τε φημὶ διωρθώσατο, καὶ ὅσα ἐν τοῖς γράμμασιν αὐτῶν τοῖς βασιλικοῖς καὶ πατριαρχικοῖς ἐθεάσατο, οὕτω πως διαλαμβάνειν ὀφείλοντα καὶ ἐμφαίνειν σαφέστατα, ἵνα πρῶτον πάντων φιλαδέλφως κοινοβιακῶς καὶ ἐν ἄκρᾳ εἰρήνῃ καὶ ὁμονοίᾳ διάγωσι, κατὰ τὴν τοῦ Κυρίου ἐντολὴν καὶ τὴν ἐπὶ γῆς διατριβήν, ὡς ἐφικτὸν αὐτοῖς ταύτην μιμούμενοι, καὶ ταύτῃ κατόπιν ἑπόμενοι διὰ παντὸς διὰ τὴν σωτηρίαν αὐτῶν. Εἶτα προσέχωσιν ἑαυτοῖς, μηδόλως παῖδας ἀγενείους μήτε εἶναι μήτε εὑρίσκεσθαι, οὔτε ἐν τοῖς μοναστηρίοις αὐτῶν, οὔτε ἐν κελλίοις ἔνδον τοῦ Ἁγίου Ὄρους, ἐπ'οὐδεμιᾷ προφάσει τῶν ἁπάντων, οὔτε γραμμάτων τυχὸν ἢ συγγενείας ἢ παιδεύσεως ἢ οὐδεμιᾶς ἄλλης. Τοὺς δὲ κοσμικοὺς ἐργάτας τοὺς ἔνδον τοῦ Ἁγίου τούτου Ὄρους δουλεύοντας ἐπιτηρεῖν, καὶ εἰ μὲν ἐντὸς τριετίας ἀποκαρῶσιν, ὡς μοναχοὶ μενέτωσαν, εἰ δ' ἔτι λαϊκοὶ διαμένειν ἐθελήσουσιν, ἐκδιωκέσθωσαν, καὶ ὅπου βούλεται ἕκαστος ἀπερχέσθωσαν. Ζῶα ἐργαστικὰ κοσμικῶν προσώπων ἢ καὶ ἱερομονάχων ἢ μοναχῶν ἔνδον τοῦ Ἁγιωνύμου τούτου Ὄρους ὅλως μὴ νεμέσθωσαν, διὰ τὰ ἐπισυμβαίνοντα οὐ συμφέροντα τοῖς θείοις μοναστηρίοις, πάρεξ μέντοι τῶν ζώων τῶν ἀρσενίων τῶν εἰς χρείαν αὐτοῖς. Ῥακίον τε παντελῶς μὴ κατασκευάζεσθαι ἐν παντὶ τῷ Ἁγίῳ Ὄρει τούτῳ, οὔτε πίνεσθαι παρὰ τῶν ἐνασκουμένων, ὡς κακῶν μόνον αἴτιον, οὐδεμιᾶς δ' ὠφελείας πρόξενον, ὁμοίως τε καὶ κάστανα ὅλως μὴ συλλέγεσθαι εἰς πρᾶσιν παρ' οὐδενός, ἀλλ' εἰς ἰδίαν χρῆσιν. Ἀπέχειν δὲ τούτους πάντας πάσης διαβολῆς, πάσης συκοφαντίας, παντὸς ἐγκαλεσμοῦ ἐξωτερικοῦ, ἂν δέ τι, εἰρηνικῶς καὶ ἐκκλησιαστικῶς θεωρεῖσθαι, μακράν τε εἶναι καὶ παντοίων γραμμάτων πλαστῶν, τῶν εἰς ἰδίαν τυχὸν ἢ κοινὴν ζημίαν συντεινόντων. Πρὸς δὲ τούτοις ἐκυρώθη ὅτι ἐάν τις τῶν μοναχῶν ἀγοράσῃ κελλίον ἐν τοῖς ὁρίοις μοναστηρίου τινὸς ἢ ἐν τῷ Πρωτάτῳ ἢ ἐν ταῖς σκήταις, εἰ μὲν βουληθείη ἀπελθεῖν ἀλλαχόθι, οὐδέν τι μὴ ἐπαναλαμβάνετο, ἂν δὲ διωχθῇ, λαμβανέτω ἅτινα δέδωκεν. Οὐδόλως δὲ σῖτον ἢ κριθὴν ἔνδον τοῦ Ἁγίου τούτου Ὄρους μὴ σπείρειν, πλὴν ὀσπρίων διαφόρων, ἵνα μή τι συμβῇ· ἀπεμπολεῖσθαι δὲ τὰ λεπτοκάρυα ὀφείλεται ἀνὰ ἄσπρα ἓξ τὸ πινάκιον, τὰ δὲ κεράσια ἀνὰ πέντε, τοῦ ἐλαίου ἡ λίτρα ἀνὰ ὀκτώ, ὑπαρχόντων τῶν μέτρων πάντων ἴσων τοῖς μέτροις τοῖς ἐκκλησίας τοῦ Πρωτάτου, οὐδὲν οὐδόλως ἐκ τούτων ἐκτὸς ἀπεμπωλούμενον, ἔνδον

δὲ τοῦ Ἁγίου τούτου Ὄρους ἅπαντα ἀπεμπωλείσθωσαν. Ἱερομόναχοι δὲ καὶ μοναχοί, οἱ ἐν τοῖς κελλίοις εὑρισκόμενοι, μὴ πορευέσθωσαν ἐν ταῖς τοῦ κόσμου ἐπαρχίαις αἰτεῖν ἀδελφάτα ἢ σαραντάρια ἢ ἄλλα τινὰ πρὸς ἰδίαν χρῆσιν· μόνοις γὰρ τοῖς καθολικοῖς μοναστηρίοις ἐδόθη εἰς τὸ βοηθεῖσθαι διὰ τὰς πολλὰς καὶ μεγάλας ἃς ἔχουσι χρείας. Πρὸς τούτοις ὥρισται, καὶ ταῦτα κεκύρωται ῥητῶς, ἵνα μηδεὶς ἐκ πάντων τῶν ἐνασκουμένων ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τούτῳ ἔχῃ ἄδειαν πωλεῖν ἢ ἀγοράζειν ἢ ῥάσα ἢ μανδύα ἢ καμηλαύκια ἢ γκρίζα, ἢ ἄλλο τι παντοῖον ἐξ ὧν ἐργάζονται (lacuna) καὶ αἰσχροκερδῶς· οὐ γὰρ εὔλογον· λαμβανέτω δὲ τὸν μισθὸν τοῦ κόπου αὐτοῦ καὶ τὴν ἀξίαν τιμὴν τῆς ὕλης ἐκείνης, ἐνδιακρίτως τοῦτο πωλῶν καὶ ἀδελφικῶς, τὴν ἰδίαν ζωάρκειαν καὶ μόνον πραγματευόμενος· ἔξω δὲ ἐν ταῖς σκήταις μὴ ἐξέστω οὐδενὶ τῶν ἐνασκουμένων ἀμπελῶνας ἔχειν, ὀλίγα δέ τινα κλήματα διὰ τὸ τρώγειν σταφυλάς, ἂν δὲ ἐθέλῃ ἀμπελῶνας ἔχειν πολλούς, ἀπέρχεσθαι ἐν μοναστηρίῳ καὶ ὑποτασσέσθω ὡς εὔλογον· οὐ γὰρ πολυκτήμονα τὸν ἀσκητὴν ὀφείλει εἶναι, ἀλλ' ὀλίγοις ἀρκούμενον. Φυλάττειν δὲ πρὸ πάντων καὶ μετὰ πάντων ὀφείλοντες πάντες, ἱερομόναχοί τε καὶ μοναχοί, ὅλως μὴ προσδέχεσθαι ἐν τοῖς ἔξω κελλίοις ἢ ἐν ταῖς χώραις μοναχὰς καλογραίας, ὡς συναδελφὰς δῆθεν· εὐκατηγόρητον γὰρ καὶ ἐπὶ ψόγον, καὶ οὐδὲ πάθους ἔσται χωρίς, οὐδὲ τῆς τῶν πολλῶν κατακρίσεως, ἀλλὰ καὶ ἀπηγορευμένον τοῖς ἱεροῖς κανόσι, μὴ ψυχικὴν φέρον τὴν βλάβην καὶ τὴν ἀπώλειαν. Ἐπεὶ οὖν ταῦτα πάντα ἐπιστώθημεν καὶ ἐβεβαιώθημεν καὶ ἠξιώθημεν ἐπιβεβαιώσασθαι αὐτά, γράφοντες ἐν ἁγίῳ πνεύματι ἀποφαινόμεθα, γνώμῃ τοῦ τε ῥηθέντος ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κὺρ Σιλβέστρου, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, καὶ τῶν ἐντυχόντων ἀρχιερέων, ἵνα ἅπαντα ταῦτα διατηρεῖν χρέος ἔχωσι καὶ στέργειν καὶ διαφυλάσσειν ἀπαρενσάλευτα πάντες οἱ ἐν τῷ Ἁγίῳ Ὄρει τούτῳ ἐνασκούμενοι, ὡς καὶ ὑπέσχετο καὶ ὡς εὔλογον καὶ δίκαιόν ἐστιν· ὃς δέ τι τούτων παραβῆναι τολμήσει, ἱερωμένος μὲν ὤν, ἀργὸς ἔστω, τῶν μοναχῶν δὲ λαϊκῶν ἢ ἄλλων, ἀφορισμένος ἀπὸ Θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ ταῖς ἀραῖς τῶν τιη' θεοφόρων πατέρων ὑπόδικος, καὶ παιδευθήσεται καὶ τρόποις ἄλλοις καὶ οὐδεὶς ἔσται αἴτιος ἢ αὐτὸς ἑαυτῷ. Ἐπὶ τούτοις γὰρ ἅπασιν ἐγένετο καὶ τὸ παρὸν ἐπικυρωτικὸν σιγιλλιῶδες ἡμέτερον συνοδικὸν γράμμα καὶ τοῖς ἐν τῷ Ἁγιωνύμῳ Ὄρει πέμπεται εἰς δήλωσιν καὶ ἐκπλήρωσιν καὶ ἀσφάλειαν, κατὰ τὸ ζπγ' ἔτος, ἐν μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος γ'.

† Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Σίλβεστρος ἐν Θεῷ πάπας καὶ πατριάρχης τῆς μεγάλης καὶ ἱερᾶς Ἀλεξανδρείας, καὶ κριτὴς τῆς οἰκουμένης.

† ὁ Ἡρακλείας Γεράσιμος (cetera desunt)

3. Σιγίλλιο τοῦ πατριάρχη Παϊσίου (Μάϊος 1744)

Παΐσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τὰ παρὰ ἀνθρώποις ἑκάστοτε λεγόμενα καὶ πραττόμενα, ὅσα δεσμοῖς τισὶ καὶ συνθήκαις καὶ ὅροις συμπεριείληπται, εἰ μόνον ἀγράφοις καὶ ψιλοῖς λόγοις εἰς ἀέρα χεομένοις συμφωνηθῶσι, μὴ τὴν ἀπὸ γραμμάτων δύναμιν καὶ κατοχύρωσιν προσλαβόντα, οὐκ ἄν σχοίη τὸ ἀσφαλές τε καὶ μόνιμον, οὐδ' ἂν ὅλως δύναιντο διὰ μυρίων κόπων σώζεσθαι τοῖς μετέπειτα χρόνοις, ἀλλὰ πρὸς καιρὸν μόνον δόξαντα συνεστάναι, δίκην πομφόλυγος χρόνου τάχιστ' ἀπερρύη τῆς μνήμης διολισθήσαντα καὶ διαλυθέντα καὶ ἐξίτηλα γεγονότα, καὶ διόλωλε ἅτε ἐπὶ κριπίδι ἀβεβαίῳ καὶ ἀπαγεῖ θεμελιωθέντα· ἥ τε γὰρ μεσεμβολοῦσα τῶν χρόνων παράτασις λήθην ἐπιφέρειν οἶδε, καὶ ἀμνηστίαν τῶν λαληθέντων, καὶ ἡ τῶν προσώπων τε καὶ πραγμάτων παλίντροπος ἀλλοίωσις καὶ μεταβολὴ ἐμποδοστατοῦσα καὶ συγχέουσα τὴν ἀκρίβειαν ἀμαυροῖ καὶ παραχαράττει τὰ ποτὲ κοινολογηθέντα καὶ συμφωνηθέντα, καὶ εἰς τὸ μὴ ὂν περιΐστησι· ταύτῃ τοι τοῖς μετ' ἐπιστασίας νουνεχοῦς καὶ ἔμφρονος λογισμοῦ τῆς συστάσεως τῶν πραγμάτων προνοουμένοις καὶ τὴν ἀσφάλειαν αὐτοῖς περιποιουμένοις τῶν λίαν ἀναγκαίων ἐκρίθη γραμμάτων ὑπομνήμασι τὰς σφῶν ὑποθέσεις ἐγχαράττειν, καὶ ταμεύειν ὡς ἐμπράκτως κατοχυροῦν τὰ ἐν λόγοις πρότερον γνωμοδοτηθέντα καὶ ψηφισθέντα, καὶ οἷον ἐμψυχωμένην καὶ ζῶσαν ὑπ' ὄψιν ἀείποτε παριστᾶν τὴν τῶν πραγμάτων ἐνέργειαν. Τούτου δ' ἀναγκαίως ἐνεργουμένου τε καὶ κρατοῦντος πᾶσι τοῖς κατὰ κόσμον βιωτικοῖς, οἷς μετ' ἀλλήλων συναινοῦσι καὶ συντίθενται ἄνθρωποι, πολλῷ μᾶλλον κατ' ὀφειλὴν ἀπαραίτητον ὁ τοῦ δικαίου ἀπαιτεῖ λόγος παρατηρεῖσθαι καὶ γίγνεσθαι τὴν διὰ γραμμάτων ἀσφάλειαν, ἔνθα περὶ καταστάσεως ἱερῶν πραγμάτων βουλῆς συνετῆς καὶ σταθερᾶς συμφωνίας καθέστηκε χρεία, καὶ περὶ εὐταξίας καὶ ῥυθμίσεως ἐκκλησιαστικῶν τε καὶ μοναστηριακῶν ὑποθέσεων σκέψις βαθεῖα προτείνεται, καὶ σύνθημα γνωμοδοτεῖται, καὶ ψήφισμα συνόδου προβαίνει ἐπὶ ἀκριβεῖ μάλιστα προθεωρίᾳ τε καὶ προαναπολήσει καὶ προγυμνασίᾳ καὶ προσδιορισμῷ εὐλογοφανεῖ τε καὶ δικαίᾳ ἀποφάσει ὑπὸ ἀξιολόγων, βαθυφρόνων τε καὶ πεπαιδευμένων προσώπων αἱρετῶν κριτῶν ἀποκαθισταμένων, διὰ προηγησαμένης ἐγγράφου θερμῆς δεήσεώς τε καὶ ἀξιώσεως εἰς ἑκάτερα τῶν ἐνδιαφερομένων ἀλλήλοις μέρη καὶ διὰ πατριαρχικῆς προτροπῆς τε καὶ ἀδείας προγεγενημένη καὶ ὁ τῆς δικαιοσύνης ζυγός, εὐθύτητι καὶ ἀληθείᾳ ταλαντευόμενος, μένει ἀπαρέγκλιτος.

Ἐπειδὴ τοιγαροῦν καὶ τὰ ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος διατελοῦντα βασιλικά, σταυροπηγιακά τε καὶ σεβάσμια μοναστήρια, καίτοι κοινὰ τῶν ὀρθοδόξων ἀνθρώπων τυγχάνοντα ἱερὰ προσκυνήματα καὶ εὐκτήριοι οἶκοι, ἅτ' ἐν αὐτοῖς ἐκτενοῦς πρὸς Κύριον ἀεννάως τελουμένης προσευχῆς καὶ δεήσεως ὑπὲρ ὑγιείας τε καὶ σωτηρίας ἁμαρτιῶν πάντων τῶν εὐσεβῶν χριστιανῶν, καὶ μάλιστα τῶν βοηθούντων αὐτά, καὶ ἀσκήσεως βίου θεοφιλοῦς πολιτευομένης, ἀλλ' οὖν εἴτε καιρικαῖς ἀνωμαλίαις καὶ ἀλλεπαλλήλοις συμφοραῖς καὶ περιστάσεσι, καὶ ἀφορήτοις συδοσίμασι πιεζόμενα, εἴτε ἀπροσφόροις καὶ ἀλυσιτελέσι ἐπιστασίαις καὶ διοικήσεσί τινων κατὰ καιροὺς προϊσταμένων τῆς Κοινότητος αὐτῶν ἐμπεπιστευμένων, ἤρξαντο κατὰ μικρὸν πρὸ ἱκανοῦ ἤδη χρόνου ἀμετρίᾳ χρεῶν ἐπὶ τοσοῦτον καταβαρυνθῆναι, ὥστε τὰ πλείω τούτων κλονεῖσθαι καὶ ἔσχατον σχεδὸν κινδυνεύειν κίνδυνον, καὶ παντελῆ ἐπαπειλουμένην κατ' αὐτῶν ἐρήμωσιν· καὶ ἐντεῦθεν οἱ πάντων τούτων τῶν θείων σκηνωμάτων τέως προϊστάμενοι ὁσιώτατοι ἱερεῖς, ἀπορίᾳ τε καὶ ἀμηχανίᾳ παντελεῖ συσχεθέντες καὶ ἐν δεινῷ ποιησάμενοι, συνελθόντες προλαβόντως εἰς ἕν, ἤτοι ἐν τῷ διορισμένῳ αὐτῶν τόπῳ τοῦ Πρωτάτου, καὶ κοινῶς πολλοὶ τοῦ ποιητέου συνδιασκεψάμενοι, ἔγνωσαν ἐν πρώτοις προσδραμεῖν μετὰ Θεὸν τῇ δεφενδεύσει τῶν χρησιμωτάτων προκρίτων ἀρχόντων τε καὶ προεστώτων τοῦ ἐνταῦθα τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων εὐλογημένου ῥουφετίου τῶν γουναράδων, θερμῶς αὐτοὺς ἐπὶ τούτῳ ἱκετεύσαντες καὶ ἀξιώσαντες καὶ ἐπομένως ὑπ' αὐτῶν θείῳ ζήλῳ τε καὶ θεοφιλεῖ γνώμῃ κινηθέντων ὡς τιμίων τε καὶ εὐσεβῶν καὶ φιλελεημόνων ἀποδειχθέντων, ξυνέθεντο κοινῇ αὐτῶν γνώμῃ καὶ συναινέσει κεφάλαιά τινα ὡς κατωτέρω ἐν τῷ παρόντι ρητῶς δηλωθήσεται, καὶ ἐν κώδικι ἐκεῖνα καταγράψαντες καὶ καταστρώσαντες τοῖς αὐτοῖς ἄρχουσι καὶ ἐπιτρόποις τῆς κοινότητος παντὸς τοῦ Ὄρους, ἐφ' ᾧ διοικεῖσθαι ὑπ' αὐτῶν πρὸς κοινὴν τῶν σεβασμίων τούτων μοναστηρίων σύστησιν καὶ ὠφέλειαν· ἔμπης διὰ τὰς ἀναφυείσας ἤδη μεταξὺ τῶν πατέρων τούτων εἰς δύο μέρη διῃρημένων διενέξεις καὶ διαφορὰς καὶ λογαριασμούς, καὶ ἀντιδιαφερομένων ἀλλήλοις, ἤτοι τῆς κοινότητος τῶν ἐν τῷ Ἁγιωνύμῳ Ὄρει εὑρισκομένων δέκα ἐννέα ἱερῶν μοναστηρίων, μετὰ τῶν πρώτων τῆς σεβασμίας μονῆς τῆς Μ. Λαύρας, οἱ ἑνὸς ἔτους τῶν αὐτῶν μοναστηρίων προϊστάμενοι προσέδραμον τῇ προνοίᾳ καὶ ἀντιλήψει καὶ διαφωτήσει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ τῇ συνδρομῇ καὶ βοηθείᾳ τῶν εἰρημένων ἀρχόντων γουναράδων, καὶ ἐδεήσαντο θερμῶς γενέσθαι κοινήν τε καὶ συνοδικὴν σύσκεψιν τοῦ ποιητέου. Ἐπειδὴ ἡ ἡμετέρα [μετριότης] ἐγγράφῳ τε πατριαρχικῇ προτροπῇ καὶ ἀδείᾳ καὶ διὰ σφραγιστοῦ ἐνυπογράφου τε καὶ ὑποσχετικοῦ τῶν εἰς τὰ ὧδε σωματικῶς παραγενομένων προεστώτων, ἐκ τῶν πατέρων τῶν ἀντιδιαφερομένων τούτων μόνων διορισθέντες καὶ ἀποκατασταθέντες ἤδη ἐκ μέρους αὐτῶν

ἐπίτροποι καὶ αἱρετοὶ κριταὶ ἐπὶ τὸ θεωρῆσαι τὰς διαφορὰς καὶ τοὺς λογαριασμοὺς αὐτῶν οἱ τρεῖς οὗτοι, δηλαδὴ οἱ ἱερώτατοι μητροπολῖται καὶ συνάδελφοι ἡμῶν ἀρχιερεῖς, ὅ τε Κυζίκου κὺρ Ἀνανίας, ὁ Βερροίας καὶ Ναούσσης κὺρ Ἰωακείμ, καὶ ὁ Σερρῶν κὺρ Γαβριήλ, ὑπέρτιμοι καὶ ἔξαρχοι ὁ μὲν παντὸς Ἑλλησπόντου, ὁ δὲ Θετταλίας, ὁ δὲ πάσης Μακεδονίας, καὶ οἱ χρησιμώτατοι ἄρχοντες καὶ πρόκριτοι τῶν γουναράδων, ὅ τε κυρίτζη Ζαφειράκης Δήμου, καὶ ὁ κυρίτζη Πετράκης Σάββα, ὁ χατζῆ κὺρ Σκαρλάτος, ὁ κυρίτζη Νικολάκης Κουζῆς, ὁ χατζῆ κὺρ Ἀναστάσης, ὁ κυρίτζη Κωνσταντῖνος Δημητρίου, ὁ χατζῆ κὺρ Ἀντωνάκης, καὶ ὁ κυρίτζη Αὐγερινὸς Χριστοδούλου, τέκνα ἐν Κυρίῳ ἡμῖν ἀγαπητά, συνῆλθον εἰς ἓν οὗτοι πάντες. Τοίνυν προτεθέντων εἰς μέσον τῶν ὧν ἑκάτερα τὰ ἀντιδιαφερόμενα μέρη προὐβάλλοντο καὶ διισχυρίζοντο, ἀκριβῶς ἐτασθέντων καὶ διευκρινηθέντων ἀφιλοπροσώπως, καὶ καθαρῷ συνειδότι ὑπὸ τῶν ἀξιολόγων τούτων αἱρετῶν κριτῶν, δὶς καὶ τρὶς οἱ ῥηθέντες [ὁσιώτατοι] πατέρες καὶ παρακινηθέντες ἐπὶ τῷ φανερῶσαι καὶ δοῦναι καθαρὸν λογαριασμὸν ἕνεκεν τοῦ ἐπισωρευθέντος τῇ κοινότητι παντὸς τοῦ Ὄρους βαρυτάτου καὶ πολυαρίθμου χρέους, συμποσωθέντος [ὅλου] μέχρι τοῦδε εἰς γρόσια ἑκατὸν δύο χιλιάδας καὶ τετρακόσια τεσσαράκοντα ὀκτώ, κεφάλαιά τε καὶ δουλευθέντα διάφορα ὄντα, δαπανηθέντα καὶ ἐξοδευθέντα διὰ τῶν αὐτῶν Λαυριωτῶν πατέρων ὡς προϊσταμένων τοῦ Ὄρους, καὶ ἀποδεῖξαι εἰς ποίας κοινὰς μοναστηριακὰς χρείας καὶ ὑποθέσεις ἐξώδευσαν ταῦτα, καθὼς οἱ ἐνάγοντες αὐτοὺς ἐζήτησαν, καὶ κατὰ τὸ δίκαιον οὐκ ἠδυνήθησαν δοῦναι λογαριασμὸν παντάπασι, ἀλλ' ἐφάνησαν ἀναπολόγητοι πάντη, ἐπὶ τούτοις ὑπεύθυνοί τε καὶ ὑπαίτιοι.

Ταῦτ' ἄρα οἱ αὐτοὶ αἱρετοὶ κριταὶ κοινῶς συνδιασκεψάμενοι καὶ τῇ τῆς δικαιοσύνης στάθμῃ τὸ πρᾶγμα ἐξακριβώσαντες καὶ διευκρινήσαντες, ἀπεφήναντο εὐλόγως καὶ συνετῷ δικαίῳ ὅπως οἱ μὲν Λαυριῶται πατέρες ὀφείλωσι πληρῶσαι καὶ ἐξοφλῆσαι ἐκ τῆς ὅλης ποσότητος τοῦ εἰρημένου κοινοῦ μοναστηριακοῦ χρέους γρόσια τεσσαράκοντα πέντε χιλιάδας καὶ πεντακόσια τριάκοντα ἓν κατὰ τὸν ἐμπεριεχόμενον τρόπον τῷ τῶν αὐτῶν αἱρετῶν κριτῶν ἀποδεικτικῷ γράμματι κατησφαλισθέντι καὶ ἐπιβεβαιώσει τῆς ἡμῶν μετριότητος, καὶ δοῦναι ἀπαραιτήτως εἰς τὸ ἐν Θεσσαλονίκῃ κοινὸν μοναστηριακὸν χρέος, καὶ ἐκπεσεῖν ταῦτα πάντα τῆς ὅλης ποσότητος τοῦ αὐτοῦ κοινοῦ χρέους, οἱ δὲ Βατοπεδινοὶ ὀφείλωσι πληρῶσαι γρόσια ἑπτὰ χιλιάδας καὶ πεντακόσια, οἱ Ἰβηρῖται πατέρες ὀφείλωσι ἀπολογηθεῖναί τε καὶ ἐξοφλῆσαι γρόσια δέκα πέντε χιλιάδας, καθ' οὓς τρόπους διαλαμβάνει τὸ αὐτὸ βεβαωτήριον γράμμα καὶ ἐκπεσεῖν καὶ ταῦτα πάντα ὁμοίως ἀπὸ τῆς ὅλης ποσότητος τοῦ αὐτοῦ χρέους· προσέτι δὲ ὀφείλωσι οὗτοι πάντες, οἱ Λαυριῶται δηλαδή, Βατοπεδινοὶ καὶ

Ἰβηρῖται, ἐξαποστεῖλαι ἀσφαλῶς ἐνταῦθα πρὸς τοὺς προεστῶτας τοῦ ῥουφετίου τῶν γουναράδων, ἐπιτρόπους τῆς κοινότητος παντὸς τοῦ Ὄρους, διαρρηγμένας τε καὶ ἐσχισμένας πάσας τὰς χρεωστικὰς ὁμολογίας τοῦ οὗπερ διωρίσθησαν πληρῶσαι καὶ ἐξοφλῆσαι χρέους τούτου, ὡς εἴρηται. Μετὰ δὲ τὴν γενομένην ὑπ' αὐτῶν τελείαν ἐξόφλησιν τῆς διορισθείσης ταύτης τῶν ἄσπρων ποσότητος, μένει καθαρὸν χρέος τῆς κοινότητος παντὸς τοῦ Ὄρους γρόσια τριάκοντα τέσσαρες χιλιάδες καὶ τετρακόσια δέκα ἑπτὰ ἐνταῦθα ἐν Κωνσταντινουπόλει, ἅτινα ὀφείλουσι κοινῶς καὶ τὰ εἴκοσι ἱερὰ μοναστήρια κυβερνῆσαι τε καὶ ἀποπληρῶσαι ἀναλόγως κατὰ τὴν τῶν αἱρετῶν τούτων κριτῶν δικαίαν ἔγγραφον ἀπόφασιν, οἵτινες θεωρήσαντες πρὸς τούτοις καὶ ἀκριβῶς στοιχησάμενοι καὶ τὰ ἅπερ οἱ ὁσιώτατοι Ἁγιορεῖται οὗτοι πατέρες κοινῇ αὐτῶν γνώμῃ καὶ συναινέσει διωρίσαντο καὶ ἐξέθεντο κεφάλαια, καὶ εὑρόντες πάντα εὔλογα, καὶ ἀναγκαῖα, ἐπωφελῆ τε καὶ χρήσιμα καὶ πρόσφορα τῇ κοινότητι τοῦ Ὄρους, προαπεφήναντο ἐπὶ τῷ μένειν ἐκεῖνα διὰ παντὸς ἀπαρεγχείρητα καὶ ἀμεταποίητα, καὶ ὀφειλόμενα διοικεῖσθαι ὑπὸ τῶν αὐτῶν ἀρχόντων ἐπιτρόπων τῆς κοινότητος τοῦ Ὄρους, ἐπικυρωθῆναί τε καὶ ἐπιβεβαιωθῆναι καὶ δι' ἡμετέρου πατριαρχικοῦ σιγιλλιώδους γράμματος, ἅτινα εἰσὶ ταῦτα, δηλονότι: Α΄) Οἱ κατὰ καιροὺς πρόκριτοι καὶ προεστῶτες τοῦ ἐνταῦθα ἐν Κωνσταντινουπόλει εὐλογημένου ῥουφετίου τῶν χρησίμων γουναράδων ἔχουσι ἐπιτροπεύειν καὶ ἐπιστατεῖν καθ' αὑτὸ πάντοτε τῇ κοινότητι παντὸς τοῦ Ὄρους, θεωρεῖν τε καὶ διοικεῖν ἀφιλοπροσώπως καὶ ἐν φόβῳ Θεοῦ πᾶσαν ἐμπίπτουσαν τῇ κοινότητι ταύτῃ καὶ ἰδίᾳ ἑνὶ ἑκάστῳ τῶν ἱερῶν τούτων μοναστηρίων ὑπόθεσιν, ὡς καθάπερ καὶ κοινῶς ὑπὸ τῶν αὐτῶν πατέρων δοθείσης αὐτοῖς τῆς τοιαύτης τελείας ἀδείας τε καὶ ἐξουσίας, μετὰ θερμῆς ἱκεσίας τὴν καὶ ἀξιοῦμεν. Β΄) Οἱ κατὰ καιροὺς εὑρισκόμενοι ἐνταῦθα Ἁγιορεῖται ταξειδιῶται πατέρες ὀφείλουσι μὴ ἐπιχειρεῖν διορθοῦν μηδεμίαν ὑπόθεσιν τῆς κοινότητος τοῦ Ὄρους, καὶ χωρὶς εἰδήσεως καὶ κοινῆς συμβουλῆς, παρὰ γνώμην τῶν αὐτῶν ἐπιτρόπων. Γ') Ὡσαύτως οἱ ἐκ μέρους τῆς κοινότητος ἀποστελλόμενοι ἐνταῦθα κατὰ πάντα καιρὸν δι' ἥντινα οὖν ἀναγκαίαν κοινὴν ὑπόθεσιν θεοσεβεῖς καὶ ἄξιοι πατέρες ὀφείλωσι κατὰ πάντα τρόπον ὑπακούειν καὶ συναινεῖν τῇ κοινῇ τῶν αὐτῶν ἐπιτρόπων συμβουλῇ, γνώμῃ τε καὶ ἀποφάσει καὶ καθὼς ἂν οὗτοι κρίνωσι εὔλογον, οὕτω κἀκεῖνοι ὀφείλουσι στέργειν καὶ ποιεῖν ἀναντιρρήτως καὶ πληροῦν τῷ ὑπ' ἐκείνων διοριζομένῳ ἀξίῳ προσώπῳ τὸν εὐλογοφανῆ μισθὸν ἐπὶ τῷ συμπροσπαθεῖν αὐτοῖς καὶ συντρέχειν, ὅπου ἂν γένηται χρεία, πρὸς τὴν ἀπάντησιν καὶ διόρθωσιν ἑκάστης ἐμπιπτούσης κοινῆς ἀνάγκης τε καὶ περιστάσεως, ὁμοίως δὲ καὶ τὰ κατ' ἔτος διδόμενα βασιλικὰ συδοσίματα ὑπὸ τῆς αὐτῆς κοινότητος, χαράτζιά τε δηλαδὴ καὶ τεμεχτὸν λεγόμενα, καὶ διδόμενα εἰς

τὸ ὀτζάκιον τοῦ ἐνδοξοτάτου μποστατζὴ μπασή, καὶ λοιπὰ ἀναγκαῖα καὶ χρειώδη κοινὰ ἔξοδα πάντα, ὀφείλονται πληροῦσθαι γνώμῃ τε καὶ εἰδήσει τῶν ἐπιτρόπων, μετρούμενά τε πρῶτον ἔμπροσθεν αὐτῶν καὶ ἰδίαις σφραγῖσι σφραγιζόμενα. Δ') Ἅπαν τὸ ἐναπομεῖναν καθαρὸν προειρημένον χρέος τῆς κοινότητος τοῦ Ὄρους, ἔτι δὲ καὶ τὰ εἰς τὸ ἑξῆς κατ' ἔτος δανειζόμενα ἄσπρα παρὰ τῶν ἐπιτρόπων τούτων διὰ κοινὰς ἀνάγκας τε καὶ χρείας τοῦ Ὄρους, καὶ εἰς ποίας κοινὰς μοναστηριακὰς ὑποθέσεις δίδονται, καὶ τὰ ἐτήσια διάφορα, πάντα ταῦτα ὀφείλονται καταγράφεσθαι ῥητῶς ἓν πρὸς ἓν ἐν τῷ ῥηθέντι κώδικι. Ε') Αἱ κατ' ἔτος ἀποστελλόμεναι ὑπὸ τῆς κοινότητος τοῦ Ὄρους πρὸς τοὺς ἐνταῦθα ἐπιτρόπους αὐτῶν βοῦλλαι παρ' ἐκείνοις λεγόμεναι, ἤτοι χαρτιὰ ἄγραφα κατεσφραγισμένα τῇ κοινῇ μοναστηριακῇ αὐτῶν σφραγῖδι, ἐπὶ τῷ μετέρχεσθαι καὶ ἐξοδεύεσθαι ὑπὸ τῶν ἐπιτρόπων εἴτε εἰς ὁμολογίαν νέου κοινοῦ χρέους, εἴτε εἰς ἐναλλαγὰς ὁμολογιῶν παλαιοῦ χρέους καὶ εἰς λοιπὰ κοινὰ ἀναγκαῖα γράμματα, ὀφείλονται πάντα γράφεσθαι ἐν τῷ αὐτῷ κώδικι καὶ τὰ περισσεύοντα τυχὸν ἐξ ἐκείνων ἐπιστρέφεσθαι καὶ ἐξαποστέλλεσθαι, ἀσφαλῶς διερρηγμένα, εἰς τὴν κοινότητα τοῦ Ὄρους. ΣΓ') Τὰς παρ' οὗτινος προσώπου, εὐλαβοῦς χριστιανοῦ εἴτε ἔσωθεν εἴτε ἔξωθεν τῆς πόλεως γινομένας κατὰ πάντα καιρὸν ἐλεημοσύνας εἰς τὴν κοινότητα τοῦ Ὄρους ἔχωσιν οἱ αὐτοὶ ἐπίτροποι αὐτῶν παραλαμβάνειν εἰς χεῖρας αὐτῶν καὶ ἐξοδεύειν εἰς κοινὰς χρείας τοῦ Ὄρους, αἵτινες ὀφείλονται λογαριάζεσθαι παρὰ τῶν πατέρων ἐπίσης ἐν ταῖς συδόσεσι τῶν ἱερῶν αὐτῶν μοναστηρίων. Ζ') Ἐὰν ποτὲ συμβῇ ἐνταῦθα συμφορά τις καὶ περίστασις καὶ ὑπόθεσις ἀναγκαία, εἴτε κοινὴ τοῦ Ὄρους εἴτε ἰδία ἑνὸς πατέρος τῶν μοναστηρίων, ὀφείλουσιν οἱ ἐπίτροποι ἀπαντᾶν πᾶσι τρόποις καὶ διορθοῦν αὐτὴν ὡς οἷόν τε καθ' ἣν ἔχουσι ὁλοσχερῆ ἐξουσίαν, χωρὶς τοῦ δοῦναι εἴδησιν εἰς τὴν κοινότητα τοῦ Ὄρους, ἵνα μὴ ἐπακολουθήσῃ αὐτοῖς μεῖζόν τι κακὸν καὶ ὑπερβάλλουσα ζημία διὰ τῆς τοῦ καιροῦ ἀναβολῆς· τὰ δ' ὅσα καὶ ἂν ποιήσωσι ἔξοδα, εἴτε εἰς τοιαύτην ἀνάγκην, εἴτε εἰς βασιλικὰ συδοσίματα, εἴτε εἰς χρονικὰ διάφορα κοινοῦ χρέους, καὶ εἰς λοιπὰς μοναστηριακὰς χρείας, ὀφείλοντας κατὰ πάντα καιρὸν ἀπολογεῖσθαι καὶ πληροῦσθαι πρὸς αὐτοὺς ἀπαραιτήτως παρὰ τῶν πατέρων σῷα καὶ ἀνελλιπῆ, εἴτε κοινῇ [εἴτε ἰδίᾳ], καθὼς ἂν γένηται χρείας καὶ κατὰ τὸ δίκαιον. Η') Καὶ τελευταῖον τὰ τῇ κοινότητι τοῦ Ὄρους ὑποκείμενα κατὰ ταῖς δυσὶν ἐκλαμπροτάταις αὐθεντείαις, Οὐγγροβλαχίας τε καὶ Μολδοβλαχίας, εὑρισκόμενα δύο ἱερὰ μοναστήρια, τὸ μὲν ἐν Βουκουρεστίῳ Κουτρατζάνιον ἐπονομαζόμενον τῆς Κομήσεως τῆς Ὑπεραγίας ἡμῶν [Δεσποίνης], κτῆμα τε καὶ ἀφιέρωμα ὑπάρχον τοῦ ἐκλαμπροτάτου ἀοιδίμου αὐθέντου Ἰωάννου Σερβάνου βοεβόδα τοῦ Κατακουζηνοῦ, τὸ δὲ ἐν ἁγίᾳ Σιών, ἐπ' ὀνόματι τῶν ἁγίων Τριῶν Ἱεραρχῶν

σεμνυνόμενον, κτῆμα τε καὶ ἀφιέρωμα τοῦ ἀειμνήστου αὐθέντου Ἰωάννου Βασιλείου βοεβόδα, ὀφείλονται καὶ ταῦτα ἀμφότερα μένειν ὑπὸ τὴν δεφένδευσιν τῶν ἐπιτρόπων, καὶ τὰ διατεταγμένα ἐτήσια ἐκεῖνα πληροῦσθαι πρὸς αὐτοὺς ἀναντιρρήτως ὑπὸ τῶν ἐκείνοις κατὰ καιροὺς ἡγουμενευόντων καὶ δηλοποιεῖσθαι ῥητῶς παρὰ τῶν ἐπιτρόπων πρὸς τὴν κοινότητα τοῦ Ὄρους, ἵνα ποιῶσι κατὰ τὴν ἐπικρατοῦσαν κοινὴν μοναστηριακὴν συνήθειαν. Δυστροπησάντων δὲ τῶν ἡγουμένων τούτων ἐπὶ τῇ πληρωμῇ τῶν ἐτησίων, ὀφείλουσι οἱ ἐπίτροποι γράφειν κατ' ἐκείνων πρός τε τοὺς κατὰ καιρὸν ὑψηλοτάτους αὐθέντας καὶ πρὸς τὴν κοινότητα τοῦ Ὄρους, καὶ ἅτινα κεφάλαιά τε καὶ ζητήματα πάντα ταῦτα κοινολογηθέντα πρότερον καὶ ἀκριβῶς ἀναπολληθέντα καὶ γυμνασθέντα παρά τε τῆς κοινότητος τοῦ Ὄρους καὶ παρὰ τῶν εὐλογημένων αἱρετῶν κριτῶν, καὶ τῆς προσηκούσης διορθώσεως ἤδη ἀξιωθέντα καὶ ὀφειλόμενα διοικεῖσθαι ὑπὸ τῶν [κατὰ] καιροὺς προεστώτων καὶ ἐπιτρόπων τοῦ ἐνταῦθα ῥουφετίου τῶν γουναράδων καὶ τῆς κοινότητος τοῦ Ὄρους ἐστερήθησαν κοινῶς παρὰ πάντων, καὶ ἐζητήθησαν ἐπικυρωθῆναί τε καὶ ἐπιβεβαιωθῆναι διὰ τοῦ παρόντος ἐκκλησιαστικοῦ σιγιλλώδους γράμματος ὡς εὔλογόν τε καὶ εὐάρεστον καὶ ἀποδοχῆς ἄξιον, ἅ τε πρὸς ἐπωφελὲς καὶ χρήσιμον ἀπονεύοντα τέλος, καὶ πρὸς θεοφιλῆ ἀφορῶντα σκοπὸν τῆς ἐλπιζομένης ἔσεσθαι σὺν Θεῷ τῇ κοινότητι τοῦ Ὄρους ἀγαθῆς καταστάσεως καὶ κυβερνήσεως, προσεπεξηγηθέντα καὶ παρὰ τῶν αὐτῶν ἐπιτρόπων ὅπως ἡ ἐπικρατοῦσα ἔν τε τῇ κοινότητι τοῦ Ὄρους καὶ τῇ πολιτείᾳ Θεσσαλονίκης ἀρχαία παράλογος συνήθεια καὶ ἀταξία περὶ τῆς κυβερνήσεως καὶ διορθώσεως τῶν συμπιπτουσῶν κοινῶν μοναστηριακῶν ἀναγκῶν τε καὶ ὑποθέσων ἀκυρωθῇ καὶ ἀπρακτήσῃ παντάπασιν, καὶ ἐν μὲν τῇ κοινότητι τοῦ Ὄρους ἀποκατασταθῇ κῶδιξ καθὼς καὶ ἐνταῦθα, ἐν ᾧ ὀφείλονται καταγράφεσθαι ῥητῶς ἅπασαι αἱ κατ' ἔτος πρόσοδοι τε καὶ ἔξοδοι· ἐν δὲ τῇ πολιτείᾳ Θεσσαλονίκης διορισθῇ κοινῇ τῶν πατέρων συνδιασκέψει καὶ συναινέσει καὶ ἀποκατασταθῇ ἐπιστάτης καὶ διοικητὴς τῶν ἐκεῖσε κοινῶν τε καὶ ἰδίων μοναστηριακῶν ὑποθέσεων, θεοσεβές τε καὶ ἀξιόπιστον καὶ ὀρθόδοξον πρόσωπον. Πρὸς δὲ κοινῶς τε καὶ ὁμοφρόνως διωρίσαντο οἱ αὐτοὶ πατέρες διοικεῖσθαι καὶ κυβερνεῖσθαι τοῦ λοιποῦ τὰ ἐκεῖσε κατ' αὐτοὺς τρόπῳ τοιῷδε· δηλονότι πάντα τῶν εἰς τὰ ἐκεῖσε διατελοῦντα σεβάσμα μοναστήρια εἰς δύο τάξεις διαιρούμενα, ἐξ ὧν ἡ μὲν Αη τάξις ἐστὶ τὰ τρία σεβάσμα μοναστήρια ταῦτα, τῆς Μεγίστης Λαύρας δηλαδή, τοῦ Βατοπεδίου καὶ τῶν Ἰβήρων, ἡ δὲ δευτέρα τὰ λοιπὰ δέκα ἑπτὰ μοναστήρια, καὶ ἀρχόμενα ἀπὸ τῆς Μεγίστης Λαύρας, καὶ κατὰ τάξιν ἐφεξῆς προβαίνοντα μέχρι τοῦ ἐσχάτου καὶ τελευταίου, ἔχουσιν ἀποκαθιστᾶν κατ' ἔτος τῇ Κοινότητι τοῦ Ὄρους κοινῇ αὐτῶν ἐκλογῇ, γνώμῃ τε καὶ συναινέσει, γέροντας

καὶ προεστῶτας καὶ διοικητὰς τέσσαράς τινας θεοσεβεῖς, ἀξίους τε καὶ δοκίμους ἄνδρας, ἐκ μὲν τῆς πρώτης τάξεως δηλαδὴ ἕνα, ἐκ δὲ τῆς δευτέρας δύο, ἐπάνω δὲ τῶν τριῶν τούτων ἕναν ἐπιστάτην καὶ ἔφορον ἐκ τῆς Αης τάξεως, παλινουνεχῆ τε καὶ πρακτικὸν προηγούμενον καὶ γραμματικὸν τὸν αὐτὸν τοῦτον· καὶ τοῦτο ὀφείλει φυλάττεσθαι ἀεννάως, καὶ οὕτω διορίζεσθαι καὶ εἰς τοὺς ἐφεξῆς χρόνους κατὰ τάξιν· οἵτινες τέσσαρες οὗτοι ὀφείλουσι κοινῶς, καὶ οὐχὶ διῃρημένως καὶ ἰδίως, ἐπιστατεῖν καὶ διοικεῖν μετὰ πάσης εὐθυδικίας καὶ ἐν φόβῳ Θεοῦ πάσας τὰς ἀναγκαίας μοναστηριακὰς χρείας τε καὶ ὑποθέσεις τοῦ Ὄρους εἰς διορίαν χρόνου ἑνὸς ὁλοκλήρου, καὶ σημειοῦν καὶ καταγράφειν ἐν καθαρῷ καταστίχῳ πάντα τά τε εἰσοδήματα καὶ τὰ ἔξοδα. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ χρόνου, γενομένης κοινῆς τῶν πατέρων Συνάξεως, ὀφείλουσι δίδοντες καθαρὸν λογαριασμὸν περί τε τῶν ἐσόδων καὶ ἐξόδων, καὶ μετὰ τὸ κατασφαλισθῆναι τὸ μὲν κατάστιχον τοῦ ἐτησίου αὐτῶν λογαριασμοῦ ὑπογραφαῖς πάντων τῶν προεστώτων τοῦ Ὄρους, τὰ δὲ ἐξοφλητικὰ γράμματα περὶ τῆς πληρωμῆς τοῦ ἀναλογοῦντος ἑνὶ ἑκάστῳ τῶν ἱερῶν τούτων μοναστηρίων χρονικοῦ συδοσίματος καὶ ἰδίαις ὑπογραφαῖς τῶν τεσσάρων τούτων γερόντων, οὗτοι μὲν ὀφείλουσι παραχωρεῖν καὶ ἐφησυχάζειν τοῦ λοιποῦ, ἡ δὲ Κοινότης τοῦ Ὄρους ἔχῃ ἀποκαθιστᾶν αὖθις ὁμοίως ἑτέρους γέροντας τὸν αὐτὸν τρόπον ὀφείλοντα· καὶ πάντων τῶν αὐτῶν μοναστηρίων πληροῦν ἀπαραιτήτως κατὰ τελείαν ὅλον τὸ ἐτήσιον ἀνάλογον ἑκάστου ἐν ταῖς κοιναῖς συδόσεσι καθ' ἕκαστον χρόνον, ὥστε οὐδὲ τὸ πολλοστημόριον ἐκ τοῦ ἐτησίου λογαριασμοῦ μένειν εἰς τὸν ἐφεξῆς χρόνον ὀφειλόμενον παρ' οὐδενὸς τῶν μοναστηρίων πρὸς τὴν Κοινότητα τοῦ Ὄρους, ἀλλ' ἐξωφλεῖσθαι ἀνελλιπῶς πάντα ἐξάπαντος. Προσδιωρίσθησαν δὲ ὑπὸ τῆς αὐτῆς Κοινότητος καὶ αἱ διαταγαὶ καὶ παραγγελίαι αὗται, ὀφειλόμεναι φυλάττεσθαι ἀπαραβάτως παρὰ τῶν αὐτῶν κατ' ἔτος διοριζομένων διὰ κοινῆς ἐκλογῆς τεττάρων γερόντων καὶ διοικητῶν· δηλονότι, ἐπακολουθούσης τῇ Κοινότητι τοῦ Ὄρους ἀναγκαίας τινὸς ὑποθέσως, ὀφείλουσι οἱ τέσσαρες οὗτοι διαμηνύειν καὶ διδόναι τὴν τοιαύτην εἴδησιν διὰ κοινοῦ αὐτῶν ἐνυπογράφου γράμματος εἰς ὅλα τὰ ἱερὰ μοναστήρια, ἀρχόμενοι ἀπὸ τοῦ πρώτου ἤτοι τῆς Μεγίστης Λαύρας κατὰ τάξιν μέχρι τοῦ ἐσχάτου, ὅπως συνερχόμενοι εἰς ἓν ἅπαντες οἱ προεστῶτες φροντίσωσι διὰ κοινῆς αὐτῶν σκέψεως ἀπαντᾶν καὶ διορθοῦν τὸ πρᾶγμα, καθὼς ἂν φανῇ αὐτοῖς κοινῶς εὔλογον, καὶ κατασφαλίζειν τὸ περὶ τούτου γενησόμενον γράμμα πάσαις ταῖς οἰκείαις αὐτῶν ὑπογραφαῖς. Ἐὰν δὲ τυχὸν ἀποδημῇ τηνικαῦτα ὁ καθολικὸς προεστὼς τινὸς μοναστηρίου, ὀφείλει ὁ μετ' ἐκεῖνον ἀπέρχεσθαι καὶ εὑρίσκεσθαι εἰς τὴν γενησομένην κοινὴν Σύναξιν, μηδενὸς ἐκλειπόντος καὶ ὑστεροῦντος τὸ σύνολον. Τὴν δὲ σφραγῖδα τῆς Κοινότητος τοῦ Ὄρους ἔχοντες ὑπὸ

τὴν ἐξουσίαν αὐτῶν οἱ τέσσαρες ἐτήσιοι κοινοὶ προστάται ὀφείλουσι μετέρχεσθαι αὐτὴν μόνον εἰς τὰς χρειώδεις κοινὰς ἐπιστολάς, εἰς δὲ τὰ λοιπὰ ἀναγκαῖα κοινὰ γράμματα κατάστιχά τε καὶ χρεωστικὰς ὁμολογίας χρᾶσθαι αὐτῆς μετὰ κοινῆς γνώμης καὶ εἰδήσεως τῶν προεστώτων παντὸς τοῦ Ὄρους, ὀφείλοντας κἀκείνους ὁμοῦ πάντας ὑπογράφεσθαι ἐν τοῖς τοιούτοις γράμμασι. Πρὸς δὲ τούτοις ὁπόταν τις μοναστηριακὸς ἢ κελλιώτης, ἱερωμένος ἢ ἰδιώτης, τολμήσῃ ἀταξίαν τινὰ ἔξω τοῦ μοναχικοῦ ἐπαγγέλματος, ὀφείλουσιν οἱ αὐτοὶ γέροντες προσκαλεῖσθαι κοινῇ τὸν ἀτακτήσαντα, ἐλέγχειν τε καὶ νουθετεῖν τὰ δέοντα εἰρηνικῷ καὶ χριστιανικῷ τρόπῳ· καὶ εἰ μὲν σωφρονισθῇ ὁ τοιοῦτος, καλόν· εἰ δὲ μή γε, ὀφείλουσι κοινολογῆσαι πρὸς τὴν Ἱερὰν Σύναξιν τὸ ἀτόπημα εἴ γε μέγα τε καὶ κανονικὸν τυγχάνον καὶ ὠδῖνον καὶ ἐπαπειλοῦν, εἴ τε ζημίαν, εἴ τε ἀτιμίαν κατὰ τῆς κοινότητος τοῦ Ὄρους, ἐπὶ τῷ γενέσθαι διὰ κοινῆς σκέψεως τὴν προσήκουσαν θεραπείαν καὶ διόρθωσιν. Τούτων οὖν ἁπαξάπαντων οὕτω κοινῶς παρὰ τῶν αὐτῶν πατέρων διορισθέντων καὶ στερχθέντων, καὶ ἀκριβῶς παρὰ τῶν ὀνομαστὶ εἰρηθέντων ἀξιολόγων θεωρηθέντων τε πρώτων κριτῶν διευκρινηθέντων, καὶ ὡς εἰκὸς ἐπιδιορθωθέντων, καὶ ἑπομένως δεομένων ἐκκλησιαστικῆς κατοχυρώσεώς τε καὶ ἐπιβεβαιώσεως ὡς διείληπται, ἡ μετριότης ἡμῶν κοινῇ συνοδικῇ γνώμῃ τε καὶ ψήφῳ, καὶ συναινέσει τῶν περὶ αὐτὴν ἱερωτάτων συναδελφῶν αὐτῆς ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν καὶ συλλειτουργῶν, γράφουσα διαβεβαιοῦται καὶ ἀποφαίνεται ἵνα τῶν ἐν τῷ παρόντι ῥητῶς καταγραφέντων καὶ καταστρωθέντων ἁπαξαπάντων προειρημένων κεφαλαίων καὶ ζητημάτων, διαταγῶν τε καὶ προσδιορισμῶν, ὡς εὐλόγων τε καὶ ἀναγκαίων καὶ πρὸς ἀγαθὴν κατάστασιν καὶ κυβέρνησιν τῆς κοινότητος τῶν σεβασμίων τούτων μοναστηρίων ἀφορώντων, κοινῇ τε καὶ ἰδίᾳ αὐτοῖς συντεινόντων, ὀφειλομένων κατὰ πάντα δίκαιον λόγον φυλάττεσθαι τοῦ λοιποῦ ἀπαραβάτως καὶ ἀπαρεγχειρήτως πάντοτε, καὶ διοικεῖσθαι κατὰ τοὺς ἐκτεθέντας καὶ διορισθέντας εὐλογοφανεῖς τρόπους, τοῦτο μὲν ὑπὸ τῶν ἐνασκουμένων τοῖς θείοις τούτοις σκηνώμασιν ὁσιωτάτων πατέρων, τοῦτο δὲ παρὰ τῶν κατὰ καιροὺς προεστώτων καὶ ἐπιτρόπων τοῦ ἐνταῦθα χρησίμου ὀουφετίου τῶν γουναράδων, καὶ τῆς Κοινότητος παντὸς τοῦ Ὄρους· ὅστις ἂν καὶ ὁποῖος τῶν πατέρων, μοναστηριακὸς ἢ κελλιώτης ἢ ἱερωμένος ἢ ἰδιώτης ἢ λαϊκός, φανῇ ἐνάντιος καὶ ἀπειθὴς καὶ ἀνυπότακτος τῇ ἐκκλησιαστικῇ ἡμῶν ταύτῃ δικαίᾳ ἀποφάσει, καὶ τολμήσει ποτὲ οἱῳδήτινι τρόπῳ παραβῆναί τε καὶ ἀθετῆσαί τι τῶν ἐν τῷ παρόντι ἐκτεθέντων, ἐπήρειάν τε καὶ βλάβην καὶ ζημίαν τινὰ ἐπαγαγεῖν τῇ Κοινότητι τοῦ Ὄρους, ὁ τοιοῦτος ὡς πάσης κακίας πεπληρωμένος, καὶ ἀντίθεος καὶ ἐχθρὸς τοῦ μοναστηριακοῦ κοινοῦ καλοῦ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ κυρίου παντοκράτορος καὶ κατη-

ραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ τυμπανιαῖος· ἡ ὀργὴ τοῦ Θεοῦ εἴη ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα, καὶ προκοπὴν οὐ μήποτε ἴδοι, ἐφ' οἷς δουλεύσει, καὶ πάσαις ταῖς πατριαρχικαῖς συνοδικαῖς ἀραῖς ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμῶν ἐπιβεβαιωτήριον σιγιλλιῶδες γράμμα καὶ ἐδόθη τῷ ῥουφετίῳ τῶν γουναράδων, ,αψμδ' κατὰ μῆνα Μάϊον ἐν ἰνδικτιῶνι ς'.

Παΐσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ Καισαρείας Παρθένιος
Ὁ Νικομηδείας Θεόκλητος
Ὁ Θεσσαλονίκης Ἰωακείμ
Ὁ Σερρῶν Γαβριήλ
Ὁ Μεσημβρίας Γρηγόριος
Ὁ Ἡρακλείας Γεράσιμος
Ὁ Νικαίας Καλλίνικος
Ὁ Τυρνόβου Ἄνθιμος
Ὁ Ἰωαννίνων Γρηγόριος
Ὁ Ἀγχιάλου Ναθαναήλ
Ὁ Κυζίκου Ἀνανίας
Ὁ Χαλκηδόνος Καλλίνικος
Ὁ Βερροίας Ἰωακείμ
Ὁ Μελενίκου Κύριλλος
Ὁ Χίου Διονύσιος
Ὁ Δέρκων Σαμουήλ

4. Ἀθωνικό τυπικό (ἀνένεργό, *ca* 1780)[165]

Α΄) (Ἐλλείπει). . . . . .

Β΄) Ὅτι νὰ χειροτονῆται ὁ Πρῶτος καὶ τοῦτος νὰ ἐκλέγηται ἐκ πάντων τῶν τοῦ Ὄρους μοναστηρίων, καὶ νὰ εἶναι ὁ πλέον ἐναρετώτερος καὶ θεοφοβούμενος καὶ νουνεχέστερος, ἀπὸ ὅποιον μοναστήριον τύχῃ, εἴτε μικρόν, εἴτε μέγα, τὴν ἀρετὴν μόνον καὶ τὴν προκοπὴν τοῦ ἀνδρὸς νὰ ἐκλέγωσι καὶ ὄχι τὴν δόξαν καὶ μεγαλειότητα τοῦ μοναστηρίου οἱ πατέρες τοῦ Ὄρους, χωρίς τινος φιλοπροσωπίας ἢ δωροληψίας, καὶ νὰ χειροτονῆται παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου· καὶ ὁ Πρῶτος τοῦτος νὰ ὑπόσχηται ἐνόρκως ὅτι ἀρνεῖται τὸ μοναστήριόν του καὶ τὴν μετάνοιάν του καὶ νὰ μένῃ ἐφ' ὅρου ζωῆς αὐτοῦ ἀδιαφόρος εἰς ὅλους τοὺς πατέρας καὶ μοναστήρια καὶ κελλία.

Γ΄) Ὅτι τοῦτος μόνος νὰ εἶναι πρώτιστος πάντων καὶ μετ'αὐτὸν νὰ εἶναι ἕτεροι τέσσαρες, οἱ ὁποῖοι ἔχουν νὰ ἐκλέγωνται τὸν καθ' ἕκαστον χρόνον ἀπὸ ὅλους τοὺς πατέρας τοῦ Ὄρους, ἀπὸ τὰς τέσσαρας πεντάδας τῶν μοναστηρίων, ὁ καθεὶς τοῦ κρίνειν καὶ ἀνακρίνειν καὶ ἀποφασίζειν καὶ διαλύειν πάσας τὰς διαφορὰς καὶ ὑποθέσεις τοῦ Ὄρους.

Δ΄) Ὁ Πρῶτος οὗτος ἔχει μένειν τῇ αὐτοῦ τιμῇ καὶ προεδρίᾳ, εἰ δόκιμος φανῇ, ἐφ' ὅρου ζωῆς αὐτοῦ· εἰ δὲ μή γε, παρὰ τῶν αὐτῶν πατέρων τοῦ Ὄρους, πάλιν εἰδήσει τοῦ παναγιωτάτου πατριάρχου, ἐξωθῆται ἐγκληματικῶς καὶ ἀντ' αὐτοῦ διὰ τῆς ἐκλογῆς αὐτῶν ἄλλος χειροτονῆται παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου.

Ε΄) Τὰ εἴκοσι μοναστήρια τοῦ Ὄρους εἰς τέσσαρας πεντάδας γινόμενα, ἡ κάθε πεντὰς ἔχει διορίζειν ἕνα ἐκ τῶν ρηθέντων τεσσάρων, τὸν πλέον νουνεχέστερον καὶ θεοφοβούμενον, τοῦ εἶναι εἰς τὴν συνοδείαν τοῦ Πρώτου ἵνα σὺν αὐτῷ κρίνωσι καὶ διαλύωσι τὰς τοῦ Ὄρους διαφορὰς καὶ ὑποθέσεις.

ΣΤ΄) Ὁ Πρῶτος ἔχει κρατεῖν ἀνὰ χεῖρας τὴν τοῦ Κοινοῦ κλεῖδα.

Ζ΄) Οἱ τέσσαρες δευτερεύοντες τοῦ Πρώτου νὰ ἔχωσι τὴν τοῦ Κοινοῦ βοῦλλαν, διῃρημένην εἰς τέσσαρα τμήματα καὶ ἀνὰ ἓν ὁ καθεὶς αὐτῶν βαστάζειν, ἵνα μή τις σφετερισμὸς γένηται, ἀλλὰ συμφώνως καὶ εὐλόγως ἐντυπῶσι καὶ σφραγίζωσι πᾶν ἀναγκαῖον γράμμα· καὶ οἱ κοινῇ βουλῇ καὶ γνώμῃ τῶν σκευο-

---

165 Τό κείμενο τοῦ Σμυρνάκη παραβλήθηκε μέ τό ἀντίγραφο τῆς μονῆς Ξηροποτάμου (βλ. σελ. 27 σημ. 56), στό ὁποῖο ἐπιφέραμε μικρές διορθώσεις.

φυλάκων αὐτῶν καὶ τῆς λοιπῆς συνάξεως τῶν προεστώτων τῶν ἱερῶν αὐτῶν μοναστηρίων βουλόμενοι ἀπελθεῖν εἰς ταξίδιον ἢ εἰς βασιλεύουσαν ἢ εἰς Θεσσαλονίκην ἢ ἀλλοῦ ποθεν μὴ δύνασθαι ἀπελθεῖν χωρὶς καὶ τῆς τοῦ Κοινοῦ βούλλας καὶ μάλιστα χωρὶς τῆς συναινέσεως καὶ γνώμης τοῦ Πρώτου, οὔτε δανείζεσθαι δύνασθαί τινα, οὔτε χειροτονίαν ποιῆσαι, οὔτε καλόγηρον κουρεῦσαι. Εἰ δέ τις φωραθείη ποιῶν τι παρὰ γνώμης τοῦ Πρώτου, νὰ παιδεύηται ἀπαραιτήτως καὶ νὰ ἀφορίζηται· εἰ δὲ καὶ δεύτερον ποιήσει τοῦτο, νὰ ἀποσκορακίζηται τοῦ Ὄρους, ὅτι ἐν πᾶσι τοῖς τοῦ Ὄρους μοναχοῖς καὶ ἐν πάσαις ταῖς ὑποθέσεσιν ὁ Πρῶτος ἔχει τὰ πρωτεῖα καὶ πρεσβεῖα καὶ μετ'αὐτὸν οἱ τέσσαρες λογάδες τῶν τεσσάρων πεντάδων τῶν μοναστηρίων τοῦ ὅλου Ὄρους.

Η') Κρέας εἰς τὸ Ὄρος κατ'οὐδένα τρόπον μήτε νὰ σφάζουν ποτές, μήτε νὰ φάγῃ τινὰς ἔξω ἀπὸ τὸν ἀγᾶ καὶ ζαπίτην τοῦ Ὄρους καὶ τοὺς λοιποὺς Τούρκους, ὁποὺ σὺν αὐτῷ εὑρίσκονται. Εἰ δέ τις φωραθείη, παιδεύεσθαι καὶ ἀφορίζεσθαι ὡς οἱ πάλαι θεῖοι πατέρες ἔθεντο.

Θ') Τὰ σπανά, ἤτοι ἀγένεια παιδία καὶ μειράκια, νὰ ἀποσκορακισθοῦν καὶ μήτε νὰ ἐμβαίνουν ποτὲ εἰς τὸ Ὄρος· ὁ δὲ παρὰ ταῦτα πράξας ἢ ἀνιστάς, ἀφορίζεσθαι καὶ ἀποσκορακίζεσθαι σὺν τῷ ἀγενείῳ.

Ι') Τὸ καθ' ἓν μοναστήριον τοῦ Ὄρους νὰ ἔχῃ ἕνα σκευοφύλακα ἄξιον μέχρι τέλους, εἰ μὴ δι' ἐγκλήματος, καὶ τοῦτος νὰ ἐκλέγηται παρὰ τῶν πατέρων τοῦ αὐτοῦ μοναστηρίου καὶ νὰ ἐπικυρώνηται παρὰ τοῦ Πρώτου, συναινούντων καὶ τῶν ἄλλων τεσσάρων· χωρὶς δὲ τῆς συγκαταθέσεως τοῦ Πρώτου οὐδαμῶς.

ΙΑ') Ὅταν ὁ Πρῶτος θελήσῃ νὰ στείλῃ τινὰ τῶν πατέρων εἰς βασιλεύουσαν ἢ εἰς ἄλλον τόπον, χωρὶς τῆς συναινέσεως τῶν μετ'αὐτοῦ τεσσάρων καὶ τῆς τοῦ Κοινοῦ βούλλας, μὴ δύνασθαι· καὶ πάλιν ἐκεῖνον ὁποὺ συναινέσουν καὶ στείλουν νὰ εἶναι ὁ πλέον δόκιμος καὶ θεοφοβούμενος.

ΙΒ') Εἰς τὰ μερικὰ συμβεβηκότα, ὁποὺ ἤθελαν ἀκολουθήσῃ εἰς κανένα μοναστήριον μικρὸν ἢ μέγα, εἴτε εἰς σκήτην, εἴτε εἰς κελλίον, τόσον κληρονομίας ὅσον καὶ ἄλλης τινὸς ἐναντίας καταδρομῆς καὶ συμφορᾶς, νὰ ἑνωνώμεθα ἅπαντες καὶ νὰ βοηθῶμεν τὸ πάσχον καὶ κινδυνεῦον μέρος, ἄνευ μέντοι τοῦ χρέους αὐτοῦ καὶ τῆς ἄλλης δοσοληψίας.

ΙΓ') Τὰ ἔξοδα καὶ τὰ πρὸς ζωάρκειαν τοῦ τε Πρώτου καὶ τῶν ὑπ'αὐτὸν τεσσάρων νὰ δίδωνται ἀπὸ ὅλα τὰ μοναστήρια κατὰ ἀναλογίαν καὶ δύναμιν τοῦ κάθε μοναστηρίου, ὡς ἐξ ἀρχῆς ἦτο, καὶ νὰ εἶναι καὶ οἱ πέντε συντραπέζῖται καὶ ὁμοδίαιτοι.

ΙΔ') Τὰς κρίσεις καὶ ἀνακρίσεις καὶ ὅσας ἄλλας ὑποθέσεις τοῦ ὅλου Ὄρους θεωρήσῃ ὁ Πρῶτος μετὰ τῶν ὑπ'αὐτὸν τεσσάρων λογάδων, νὰ τὰς

καταγράφουν εἰς τὸν κώδικα ἀκριβῶς καὶ νὰ ὑπογράφουν τὴν κάθε ὑπόθεσιν ὅ τε Πρῶτος καὶ οἱ τέσσαρες καὶ νὰ βάλλουν καὶ τὴν τοῦ Κοινοῦ βοῦλλαν ὑποκάτω, ὅπως τὰ πάντα καλῶς διευθύνωνται.

ΙΕ') Τὰς μεγάλας διαφορὰς ὁποὺ δὲν δύνανται νὰ διαλύσουν ὅ τε Πρῶτος καὶ οἱ μετ'αὐτὸν τέσσαρες, νὰ συνάζωσι τοὺς προεστῶτας ὅλων τῶν μοναστηρίων νὰ τὰς θεωρῶσι, καὶ ἂν δὲν τὰς διαλύσουσι, νὰ τὰς ἀναφέρωσιν ἀναγκαίως τῷ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ ἱερᾷ Συνόδῳ, διὰ νὰ μὴ ἀκολουθῇ καμία ἀδικία, ἀλλὰ νὰ διευθύνωνται τὰ πάντα καλῶς καὶ θεαρέστως.

ΙΣΤ') Τὸ κοινὸν μηρί, ἢ δόσιμον ἐτήσιον τοῦ Ὄρους, νὰ τὸ διορίζῃ ὁ Πρῶτος μετὰ τῶν σὺν αὐτῷ τεσσάρων καὶ πάντων τῶν σκευοφυλάκων ὅλων τῶν μοναστηρίων κατὰ τὴν τοῦ κάθε μοναστηρίου δύναμιν ἐν φόβῳ Θεοῦ καὶ καθαρῷ συνειδότι.

ΙΖ') Νὰ θεωρῇ ὁ Πρῶτος μετὰ τῶν σὺν αὐτῷ τεσσάρων τοὺς λογαριασμοὺς τοῦ κάθε μοναστηρίου, ἰδίως ἐν φόβῳ Θεοῦ καὶ νὰ σφραγίζωσι τοὺς λογαριασμοὺς αὐτοὺς μὲ τὴν τοῦ Κοινοῦ βοῦλλαν, ὁπόταν ἤθελαν προσκαλεσθῶσι παρὰ τῶν προεστώτων καὶ πατέρων τινὸς μοναστηρίου.

ΙΗ') Τὰ δυστυχισμένα καὶ καταχρεωμένα μοναστήρια νὰ δίδωσιν ἀπαραιτήτως τὸν λογαριασμόν τους ἐν φόβῳ Θεοῦ καὶ ἐν καθαρῷ συνειδότι τὸν καθ' ἕκαστον χρόνον ἐνώπιον τοῦ Πρώτου καὶ τῶν σὺν αὐτῷ τεσσάρων λογάδων καὶ νὰ σφραγίζωσι τοὺς λογαριασμοὺς αὐτοὺς μὲ τὴν τοῦ Κοινοῦ βοῦλλαν, ὅπως θείᾳ χάριτι ἐπὶ τὸ κρεῖττον προκόπτωσι.

ΙΘ') Νὰ δίδῃ καὶ ὁ Πρῶτος λογαριασμὸν τὸν καθ' ἕκαστον χρόνον μετὰ τῶν σὺν αὐτῷ τεσσάρων εἰς ὅσα ἔπραξαν ἐνώπιον τῶν προκρίτων τοῦ κάθε μοναστηρίου.

Κ') Εἰς τὰς συνελεύσεις αὐτῶν ἀπὸ κάθε μοναστήριον δύο μόνοι, οἱ δοκιμώτεροι, νὰ καθέζωνται καὶ νὰ συνομιλῶσιν, εἰ δὲ καὶ τύχωσι πολλοὶ ἀπὸ ἕνα καὶ τὸ αὐτὸ μοναστήριον, οἱ ἄλλοι νὰ μὴ πηγαίνωσιν εἰς τὴν Σύναξιν καὶ συνέλευσιν.

ΚΑ') Ἐάν τις τῶν ἐν ἀποδημίᾳ ὄντων πατέρων ἀποθάνῃ εἰς τὸ ταξίδιον αὐτοῦ καὶ ἐκεῖ εὑρεθῶσι καὶ ἄλλοι πατέρες ἀπὸ ἄλλα μοναστήρια εἷς, δύο ἢ καὶ πολλοί, αὐτοὶ μὲν νὰ παραλαμβάνωσι τὰ σκεύη ἢ ἄμφια ἢ ἄσπρα ἢ κειμήλια τοῦ ἀποθανόντος ἀδελφοῦ μετὰ τῶν ἐπιτρόπων τοῦ μοναστηρίου ἐκείνου ἐγγράφως, διὰ καθαροῦ καταστίχου μὲ τὴν βοῦλλαν καὶ γράμμα τοῦ κατὰ τόπον ἀρχιερέως καὶ τῶν ἐκεῖσε ἀρχόντων καὶ προεστῶν καὶ οἱ πατέρες αὐτοὶ νὰ τὰ παραδίδουν εἰς χεῖρας τοῦ Πρώτου καὶ τῶν σὺν αὐτῷ τεσσάρων· ὁ δὲ Πρῶτος νὰ τὰ παραδίδῃ εἰς τὸ μοναστήριον τοῦ ἀποθανόντος ἀδελφοῦ, διὰ νὰ μὴ γίνηταί τις σφετερισμός.

ΚΒ΄) Τὸν Πρῶτον νὰ μὴ τὸν κληρονομῇ ἄλλος τινὰς οὔτε τὸ μοναστήρι του, εἰ μὴ τὸ Πρωτᾶτον μόνον· εἰ δὲ καὶ παραιτηθῇ μόνος του, ἢ ἐκβληθῇ παρὰ τῶν ἀδελφῶν καὶ τοῦ παναγιωτάτου πατριάρχου, νὰ μὴ λαμβάνῃ ἄλλο τι ἀπὸ τὸ Πρωτᾶτον, παρὰ τὰ ὅσα ἔφερεν, ὅταν ἔγινε Πρῶτος, καὶ τὰ φορέματά του καὶ νὰ πηγαίνῃ πάλιν εἰς τὴν μετάνοιάν του, ὡς καὶ ὁ πρῶτος κωδίκελλος διαλαμβάνει.

ΚΓ΄) Οἱ προσκυνηταί, ὁποὺ πηγαίνουν εἰς τὸ Ὄρος παρακινημένοι ἀπὸ τοὺς ἀνὰ ἑκάστου μοναστηρίου πατέρας, νὰ πηγαίνουν ἀπαραιτήτως καὶ εἰς τὸ Πρωτᾶτον.

ΚΔ΄) Παρὰ τῶν κοινῶν ἐλεημοσυνῶν ὁποὺ δίδονται ἀπὸ τοὺς χριστιανοὺς καὶ ἔρχονται εἰς τὸ Ὄρος νὰ λαμβάνῃ καὶ τὸ Πρωτᾶτον τὸ ἀνάλογόν του.

ΚΕ΄) Οἱ τῶν ἀδελφῶν τοῦ Ὄρους ἐπίτροποι, ὁποὺ κατὰ καιρὸν εὑρίσκονται εἰς βασιλεύουσαν, νὰ συνεπιτροπεύουν μετά τινων ἀρχόντων κατοίκων τῆς πόλεως συναφλίδων τῶν γουναράδων ἢ ἄλλων ῥουφετίων ὁποὺ εὑρεθῶσιν εὔλογον· καὶ νὰ ἔχωσι καὶ δύο καπικεχαγιάδες κοσμικοὺς θεοφοβουμένους, φρονίμους, λογάδας καὶ εὐσεβάστους, ὁποὺ νὰ θεωρῶσι πάσας τὰς τῆς Ὑψηλῆς Πόρτας καὶ ἄλλας ἐξωτερικὰς ὑποθέσεις, χωρὶς νὰ πηγαίνωσιν οἱ μοναχοὶ καὶ ἀδελφοὶ τοῦ Ὄρους μὲ τελειότητα εἰς τὴν Πόρταν· χωρὶς ὅμως τῆς προσταγῆς καὶ συναινέσεως τοῦ Πρώτου καὶ τῶν σὺν αὐτῷ τεσσάρων, τῆς ἐγγράφου καὶ ἐνσφραγίστου δηλαδή, νὰ μὴ δύνωνται νὰ θεωρήσωσι μεγάλας ὑποθέσεις ἔξω διὰ τὸ ἐπικίνδυνον καὶ ἄωρον.

ΚΣΤ΄) Ὅποιον μοναστήριον ἤθελε μείνῃ ὀρφανὸν ἀπὸ προεστῶτα, ὁ Πρῶτος μετὰ τῶν σὺν αὐτῷ τεσσάρων ἔχουσι χρέος νὰ προστάξωσιν ἕνα προεστὸν θεοφοβούμενον καὶ ἐνάρετον ἀπὸ ὅποιον ἄλλο μοναστήριον ἤθελε τύχῃ ἢ ἀπὸ κελλίον ἢ ἀπὸ σκήτην, ἢ ψωμᾶν, νὰ ἐπιστατήσῃ ἕως οὗ νὰ ἀποκτήσῃ καὶ αὐτὸ ἴδιόν του προεστῶτα τακτικόν, διὰ νὰ μὴ χάνωνται καὶ ἀφανίζωνται τὰ δήποτέ του, καὶ νὰ καταγράφωνται εἰς τὸν κώδικα τοῦ Κοινοῦ ἓν πρὸς ἓν ἅπαντα ὡς εἴπομεν.

ΚΖ΄) Ὅποιος τῶν κελλιωτῶν ἀποθάνῃ νὰ ἀφίνῃ ἀπαραιτήτως καὶ εἰς τὸ Πρωτᾶτον ἐλεημοσύνην.

ΚΗ΄) Ὅποιος ἀπὸ τοὺς μοναστηριακοὺς καὶ ταξιδιώτας καὶ κελλιώτας ἔχει ἄσπρα καὶ θέλει νὰ δανείσῃ, ἔξω ἀπὸ τὸ Ὄρος νὰ μὴ δύναται νὰ δώσῃ δανειακῶς ἀλλοῦ ποθεν παρὰ μόνον εἰς τὰ μοναστήρια τοῦ Ὄρους ἢ εἰς τὸ Κοινόν, ὁμοίως καὶ ὅσοι ἔχουσιν ἔξω ἄσπρα δανειακὰ νὰ τὰ σηκώσουσιν ἀπαραιτήτως καὶ νὰ τὰ δανείσωσιν εἰς τὸ Ὄρος, ὡς εἴρηται· φωραθέντος δὲ τοῦ παρηκόου, τοῦ καὶ ἐν ἄλλοις μέρεσι δανείζοντος, παιδεύεσθαι ἐγκληματικῶς καὶ ἀφορίζεσθαι.

ΚΘ') Οἱ τέσσαρες δευτερεύοντες τὸν καθ' ἕκαστον χρόνον νὰ ἀλλάζωνται, καὶ ἄλλοι κατὰ τάξιν νὰ εἰσέρχωνται εἰς τὴν αὐτὴν ὑπηρεσίαν.

Λ') Τὰ ἐργαστήρια ὁποὺ ἔχουν οἱ πατέρες εἰς ταῖς Καραῖς νὰ κλείσουν καὶ ὁ καθεὶς νὰ πωλῇ τὸ ἐργόχειρόν του εἰς τὸ κελλίον του, καὶ οἱ κοσμικοὶ νὰ ἐξωθοῦνται, ὡς καὶ ἔκπαλαι ἦν, πλὴν τῶν συντεινόντων ἀναγκαίως εἰς ὑπηρεσίαν τῶν μοναστηρίων· ὁ δὲ παρὰ ταῦτα πράξας παιδεύεσθαι.

ΛΑ') Χωρὶς τῆς τοῦ πρώτου καὶ τῶν ὑπ'αὐτὸν τεσσάρων συναινέσεως νὰ μὴ τολμήσῃ τινὰς τῶν ἀδελφῶν τοῦ Ὄρους μέγας ἢ μικρὸς προσελθεῖν εἰς τὸν ἀγᾶν, οὔτε διὰ καλὸν οὔτε διὰ κακόν, οὐδὲ εἰς τὴν Θεσσαλονίκην, ὅπου οἱ ἀδελφοὶ πηγαίνουν νὰ προστρέχωσιν εἰς κανένα τούρκικον κονάκι καὶ νὰ πιάνουν ἀρκάδες (φίλους) καὶ διαυθεντευτὰς νὰ κατατρέχωνται· εἰ δέ τις φωραθῇ, παιδεύεσθαι ἐγκληματικῶς καὶ ἀφορίζεσθαι.

ΛΒ') Ὁ Πρῶτος ἐπειδὴ καὶ παρὰ τοῦ παναγιωτάτου πατριάρχου χειροτονεῖται, ἔχει βαστάζειν βακτηρίαν ἐν τῇ χειρί αὐτοῦ, ὡς καὶ ὁ τῆς Λαύρας, ἐπεὶ καὶ ἀμφότεροι παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου χειροτονοῦνται· αἱ δὲ καθέδραι αὐτῶν καὶ τῶν λοιπῶν ὁποὺ συνεδριάζουσιν εἰς τὰς κρίσεις, ὡς διαλαμβανόμεναι ἐν τῷ προτέρῳ κώδικι καὶ ὡς γνωσταὶ τοῖς πᾶσιν, ἐνταῦθα οὐ διαλαμβάνονται.

ΛΓ') Ὅποιος καλόγηρος ἢ ἱερομόναχος ἢ προηγούμενος ἢ ὁποίας ἄλλης τάξεως ἤθελε φύγῃ ἀπὸ τὸ μοναστήρι του, νὰ μὴ ἔχῃ ἄδειαν ἄλλο μοναστήριον νὰ τὸν δέχηται χωρὶς τῆς γνώμης καὶ θελήσεως τοῦ ἰδίου μοναστηρίου του καὶ τῆς συναινέσεως τοῦ Πρώτου.

ΛΔ') Μὴ ἐξεῖναί τινι τῶν ταξιδιωτῶν Ἁγιορειτῶν ἀγοράζειν ἐκ τοῦ Ὄρους τὰ λεγόμενα πεσκέσια, καμηλαύχια καὶ ἄλλα συνήθη, χάριν μεταδόσεως ἑτέρων ξένων μοναστηρίων εἰς τὸ ταξιδεύειν καὶ αὐτοὶ τοῖς ἰδίοις πεσκεσίοις, μήτε οἱ ἐργοχειροῦντες νὰ ἔχωσιν ἄδειαν νὰ τὰ πωλοῦσιν αὐτοὶ εἰς πραγματευτάς, οὐδὲ εἰς ἄλλους τῶν ἔξω μοναστηρίων, εἰ μὴ μόνον εἰς τοὺς προσκυνητὰς καὶ τοὺς Ἁγιορείτας ταξιδιώτας· ὁ δὲ παρὰ ταῦτα πράξας καὶ φωραθεὶς παιδεύεσθαι.

ΛΕ') Οἱ ἐν ταῖς σκήταις καὶ τοῖς κελλίοις ἐνασκούμενοι πατέρες νὰ μὴ ἔχωσιν οὐδεμίαν ἄδειαν νὰ εὐγαίνωσιν ἔξω ἀπὸ τὸ Ὄρος χωρὶς τῆς γνώμης τοῦ ἰδίου αὐτῶν μοναστηρίου καὶ τῆς συγκαταθέσεως τοῦ Πρώτου· ὁ δὲ ἀπειθὴς φανεὶς καὶ παρήκοος, παιδεύεσθαι καὶ ἀφορίζεσθαι.

ΛΣΤ') Οἱ ταξιδιῶται ἑνὸς ἑκάστου μοναστηρίου ἀπερχόμενοι εἰς τὰ ταξίδια νὰ μὴ ἔχωσιν ἄδειαν νὰ καθέζωνται πλείους τῶν τεσσάρων ὁλοκλήρων χρόνων εἰς τὸ ταξίδιόν τους· καὶ πληρωθέντων τῶν τεσσάρων ὁλοκλήρων χρόνων, νὰ σηκώνωνται ἀπαραιτήτως εἰς τὸν πέμπτον χρόνον καὶ νὰ ἔρχωνται εἰς τὰ μοναστήριά τους· εἰ δέ τις παρακούσῃ καὶ ἀπειθὴς φανείη, παιδεύεσθαι.

5. Σιγίλλιο τοῦ πατριάρχη Γαβριήλ (Ἰούνιος 1783)

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐχρῆν μὲν πάλαι τεθεῖσθαι καὶ ἐκκεκρῖσθαι ὅρους καὶ τάξεις, καθ' ἃς διοικούμενοι, τἀπλῶς εἰπεῖν πολιτικά, οἱ κατὰ τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθω ὁσιώτατοι πατέρες μοναστηριακοί τε καὶ ἄλλοι, ὧν μὲν εἶχον ἀγαθῶν οὐκ ἂν ἐν στερήσει ἐγένοντο, ἀπηλλαγμένοι δ' ἂν ἦσαν τοσούτων κακῶν, οἷς ἤδη ἔλαθον περιπεσόντες. Ἐπεὶ δὲ οὐκ οἴδαμεν ὅπως τούτου ἀμελήσαντες καὶ οἷον ἀλογίστως φερόμενοι συμφοραῖς ἐχρήσαντο τοιαύταις, ὥστε καὶ τῶν ἐν τῷ Ἄθῳ ἱερῶν καὶ σεβασμίων μοναστηρίων τὰ μὲν ἔρημα ἀπολειφθῆναι τὰ δὲ κινδυνεύειν, καὶ ὅλως ἅπαντα πλησίον εἶναι τοῦ δεινοῦ, τῷ μᾶλλον καὶ ἧττον διαφέροντα ἀλλήλων καὶ τοὺς ἅπαντας πατέρας καθ' ἑκάστην διοχλουμένους μὴ ἔχειν ὅπως χρήσωνται τῷ πράγματι, συνελόντι δ' εἰπεῖν, σύμπαν τὸ ἁγιώνυμον τοῦτο Ὄρος καὶ γεραρὸν ἐπ' ἀρχαιότητι τῶν μοναστηρίων καὶ σεβάσμιον ἐπὶ τοῖς ἱεροῖς κειμηλίοις ἐλεεινῶς ἤδη χρέεσιν ἀφορήτοις συνέχεσθαι καὶ πιεζόμενον ἀθλίως κατατρίβεσθαι. Ἐπεὶ δ'οὖν διὰ τὰς εἰρημένας αἰτίας τὸ ἱερὸν τοῦτο Ὄρος τοιαύταις καὶ τοσαύταις περιέπεσε συμφοραῖς καὶ κινδύνοις, διὰ ταῦτα, κοινῇ γνώμῃ ἡμῶν τε καὶ πάσης τῆς ἱερᾶς ἀδελφότητος καὶ τῶν ἐνδοξωτάτων καὶ εὐγενεστάτων ἀρχόντων καὶ τῶν ἐπιτρόπων τοῦ τε κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας καὶ τῆς Κοινότητος τοῦ Ἁγίου Ὄρους καὶ τῶν λοιπῶν προκρίτων τοῦ γένους ἡμῶν, ἅμα δὲ καὶ τῇ θερμῇ ἀξιώσει τῶν ἤδη ἐν τῇ βασιλευούσῃ διατριβόντων ὁσιωτάτων μοναστηριακῶν πατέρων, ἔγνωμεν στῆσαί τε καὶ ἀναιχαιτίσαι τὸ δεινόν, ἐκθέμενοί τε τοὺς ἐφεξῆς ὅρους καὶ κεφάλαια.

Α') Καθ' ἕκαστον ἔτος κατὰ τὴν πρώτην ἀεί ποτε τοῦ Ἰουνίου ἀποκαθίστασθαι τέσσαρας προεστῶτας καὶ ἐπιστάτας τῆς Κοινότητος τοῦ Ὄρους, ἐκλελεγμένους ἐκ τῶν τεσσάρων πεντάδων τῶν αὐτόθι μοναστηρίων, οὐχὶ μέντοι ἰδιώτας καὶ ἀπαιδεύτους, ἀλλ' ὅστις ἂν ᾖ φρόνιμος καὶ παντοίων ὑποθέσεων πεπειραμένος, καὶ οἷος ἀπολογεῖσθαι καὶ ἐντυγχάνειν μετὰ φρονήσεως πρὸς τὰς συμπιπτούσας χρείας. Εἶναι δὲ τούτους τε τέσσαρας ὁμορόφους, ὁμοδιαίτους καὶ ὁμοτραπέζους, ἔχοντας ἕκαστος τὸν ἴδιον τόπον ἐν ταῖς ἐθίμοις συνελεύσεσι, χρῆσθαι δὲ καὶ κώδικι ἀπογραφομένους ἐν αὐτῷ πάσας τὰς ὑποθέσεις τῆς τε Κοινότητος καὶ τῶν μοναστηρίων, ἔχειν δὲ καὶ γραφέα

εὐδόκιμον πρός τε τὰ γράμματα καὶ τοὺς λογαριασμοὺς τῆς Κοινότητος. Τὴν δὲ ἐπιστασίαν τῶν τεσσάρων τούτων παρατείνειν εἰς χρόνον ὁλόκληρον ἕνα καὶ οὐχὶ πλέον· μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ χρόνου θεωρούμενοι τὸν λογαριασμὸν αὐτῶν ἐξαποστέλλεσθαι εἰς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην Ἐκκλησίαν, εἰς ἐπιθεώρησιν παρά τε τῆς ἱερᾶς Συνόδου καὶ τῶν ἐνδοξοτάτων καὶ εὐγενεστάτων ἀρχόντων καὶ ἐπιτρόπων τοῦ τε κοινοῦ τῆς Ἐκκλησίας καὶ τοῦ Ὄρους, ὥστε καὶ ἐπικυροῦσθαι καὶ παρ'αὐτῶν, εἶτα παρακατατίθεσθαι καὶ φυλάττεσθαι παρὰ τοῖς ἐνταῦθα ἐπιτρόποις τοῦ Ὄρους.

Β΄) Τὴν μέχρι τοῦδε σφραγῖδα τῆς Κοινότητος αὐτῶν συντριβῆναί τε καὶ εἰς ἀχρηστίαν παροραθῆναι, χρῆσθαι δὲ τοῦ λοιποῦ τῇ ἤδη κατασκευασμένῃ ἑτέρᾳ σφραγῖδι ὑπὸ γράμμασι ῥωμαϊκοῖς καὶ τουρκικοῖς εἰς τέσσαρα τμήματα διαιρουμένῃ, πρὸς πάσας τὰς συμπιπτούσας χρείας καὶ ὑποθέσεις, μὴ μέντοι σφραγίζειν δι' αὐτῆς καὶ ὁμολογίας χρεωστικάς· ἢν δὲ φανῶσί ποτε τοιαῦται ὁμολογίαι ἐπὶ τῇ σφραγῖδι ταύτῃ, μένειν αὐτὰς ἀκύρους καὶ ἀνισχύρους. Ἕκαστον δὲ τῶν τεσσάρων τῆς σφραγῖδος τμημάτων κρατεῖσθαι παρὰ ἑκάστου τῶν τεσσάρων ἐπιστατῶν, μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἐτησίου ἐπιστασίας αὐτῶν ἐγχειρίζεσθαι τοῖς νέοις ἐπιστάταις.

Γ΄) Ὅσαιπερ ἂν ὁμολογίαι φανῶσί ποτε ἐκτὸς τῶν κατεγγεγραμμένων ἐν τοῖς καταστίχοις τοῦ ἤδη ἐν τῇ βασιλευούσῃ θεωρηθέντος τῆς Κοινότητος λογαριασμοῦ αὐτῶν, τὰς τοιαύτας εἴτε τῶν ἐν τῇ βασιλευούσῃ εἶεν, εἴτε τῶν ἐν τῷ Ὄρει, μένειν πάντῃ ἀκύρους, ἀποτίνεσθαί τε καὶ πληροῦσθαι παρὰ τοῦ ὑπογεγραμμένου ἐν ἐκείναις.

Δ΄) Ὅσαι ἂν διαφοραὶ συμβῶσι τοῖς μοναστηρίοις πρὸς ἄλληλα, ταύτας ἀνακρίνεσθαι καὶ θεωρεῖσθαι ἐπὶ τῶν τεσσάρων ἐπιστατῶν, ἢν δὲ μὴ διαλυθῶσιν, ἀναφέρεσθαι ἐπὶ τῆς καλουμένης παρ' αὐτῶν Συνάξεως, ἢν δὲ μηδ' οὕτω διορθωθῶσι, τότε ἀναφέρεσθαι πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην Ἐκκλησίαν, διὰ κοινῆς ἀναφορᾶς δηλωτικῆς, τίνος ἐστὶ τὸ δίκαιον.

Ε΄) Τὰ χαράτζια διανέμεσθαι κατὰ κεφαλὴν καὶ τὰ περιττεύοντα ἐπιδιανέμεσθαι κατὰ ἀναλογίαν πρὸς τὰ χαρτία.

ΣΤ΄) Τοὺς συμβάντας ἂν εἰς τὸ ἑξῆς τζερεμέδες διανέμεσθαι καὶ ῥίπτεσθαι κατὰ ἀναλογίαν τῶν λοιπῶν δοσμάτων.

Ζ΄) Ἢν ποτέ τις καλόγηρος ἀναχωρήσῃ καὶ φύγῃ ἀπό τοῦ μοναστηρίου αὐτοῦ, μὴ παραδέχεσθαι αὐτόν, μήτε παρὰ μοναστηρίου ἄλλου μήτε παρὰ σκήτης ἢ κελλιώτου, ἐκτὸς μὴ ἔχῃ ἄδειαν ἔγγραφον παρὰ τοῦ προεστῶτος τοῦ μοναστηρίου αὐτοῦ· ἄνευ δὲ τῆς τοιαύτης ἀδείας τὸν δεξάμενον σὺν τῷ δεχθέντι παιδεύεσθαι.

Η΄) Μήτε κελλιώτην, μήτε μοναστηριακὸν ἢ ἡσυχαστὴν ἐξιέναι καὶ ὅλως ἐξέρχεσθαι τοῦ Ἁγίου Ὄρους ἄνευ ἀδείας καὶ συστατικοῦ γράμματος τοῦ

μοναστηρίου αὐτοῦ, τοὺς δὲ ἐξιόντας προσεπιφέρειν καὶ συστατικὸν γράμμα καὶ τῶν τεσσάρων ἐπιστατῶν κατησφαλισμένον τῇ τε ὑπογραφῇ αὐτῶν καὶ τῇ εἰρημένῃ σφραγῖδι τῆς Κοινότητος, τοὺς δ' ἐπιστάτας τούτους προχείρως ἐκδιδόναι τὸ τοιοῦτον συστατικὸν γράμμα ἄνευ τινὸς ἐναντιότητος καὶ ἄνευ ὀβολοῦ, ἢν μόνον μηνύσῃ αὐτοῖς ὁ τοῦ μοναστηρίου προεστώς.

Θ') Ὅστις ἂν τῶν ἀσκητῶν ἐν χρείᾳ γένηται ἐξελθεῖν τοῦ Ὄρους καὶ τοῦτον λαμβάνειν τὴν ἔγγραφον ἄδειαν ἄνευ ὀβολοῦ παρὰ τῶν τεσσάρων Ἐπιστατῶν, ὀφειλόντων ἐξετάσαι ἀκριβῶς τὴν αἰτίαν τῆς ἐξελεύσεως, καὶ ἢν εὔλογος τύχῃ οὖσα, τότε ἐπιδίδοσθαι αὐτῷ τὸ συστατικὸν γράμμα δηλωτικὸν καὶ τῆς ὑποθέσεως, εἰ δὲ μή, κωλύεσθαι τῆς ἐξόδου· παρὰ δὲ τὴν ἄδειαν ταύτην, ἤν τις τῶν ἀσκητῶν δραπετεύσῃ ἀπὸ τοῦ Ὄρους, τοῦτον παιδεύεσθαι καὶ ζημιοῦσθαι τῇ τῆς καλύβης αὐτοῦ πωλήσει.

Ι') Ἢν συμβῇ τις καταδρομὴ κατά τινος μοναστηρίου, συνεπαίρεσθαί τε καὶ βοηθεῖν αὐτῷ καὶ πάντα τὰ λοιπὰ μοναστήρια, ἄνευ μέντοι δόσεως ἄσπρων· καὶ τῆς χρείας καλούσης, ἐπὶ τῇ βοηθείᾳ ταύτῃ ἐξαποστέλλειν καὶ ἀνθρώπους εἰς Θεσσαλονίκην, τῶν δὲ ἐξαποστελλομένων βοηθῶν, τῆς ὁδοιπορίας τὰ ἔξοδα ἀποπληροῦσθαι μὴ παρὰ τοῦ κατατρεχομένου μοναστηρίου, ἀλλὰ παρὰ τῶν ἐξαποστελλόντων καὶ βοηθούντων· ἐξαποστέλλεσθαι δὲ ἄνδρας ἐμπείρους καὶ εἰδήμονας τῶν ὑποθέσεων, καὶ κατὰ τὴν περίστασιν ἐκλεγομένων καὶ διοριζομένων ἀμισθῶς παρὰ τῶν κατὰ καιροὺς ἐπιστατῶν, καὶ πειθομένους αὐτοῖς προθύμως.

ΙΑ') Ἐπεὶ διὰ τὸ πλῆθος τῶν ἐν τῷ Ὄρει τούτῳ ἐργαστηρίων τῶν κοσμικῶν συμβαίνουσιν ἄτοπα καὶ ζημίαι οὐκ ὀλίγαι εἰς τὸ κοινὸν αὐτῶν, ἀποβληθῆναι μὲν αὐτούς, μεῖναι δὲ τέσσαρα μόνα ἐργαστήρια, δύο ἀχτάρικα καὶ δύο πακάλικα, ἐφ'οἷς ἔχει ἐπιβαλεῖν χεῖρας τὸ κοινὸν τοῦ Ὄρους, ἵνα καί τι ἐν τούτῳ κερδαίνῃ.

ΙΒ') Τὰς δοσοληψίας καὶ τὰ κατάστιχα τῶν σκευοφυλάκων τῶν μικρῶν μοναστηρίων ἐξετάζεσθαι καὶ ἐπιβεβαιοῦσθαι παρὰ τῶν τεσσάρων ἐπιστατῶν τῆς Κοινότητος.

ΙΓ') Τοὺς καλογήρους τοῦ Ὄρους μοναστηριακούς, κελλιώτας καὶ ἀσκητάς, ὅσοιπερ ἂν ἔχωσιν ἄσπρα, δανείζειν αὐτὰ μὴ ἔξωθεν τοῦ Ὄρους, ἀλλὰ ἐντός, λαμβάνοντας τόκον πρὸς ὀκτὼ τὰ ἑκατόν· ὅσοι δ' ἂν τύχωσιν ἔχοντες δεδανεισμένα ἔξωθεν, ἀφελόντας ἐκεῖθεν, δανεῖσαι εἰς τὰ μοναστήρια ἐπὶ τῷ εἰρημένῳ τόκῳ.

ΙΔ') Τοὺς κελλιώτας, ἐκτὸς τοῦ χαρατζίου καὶ ταχριλίου, διδόναι κατ' ἔτος εἰς τὸ κοινὸν δόσιμον γρόσια τὸν ἀριθμὸν ἑπτὰ χιλιάδες, διανεμομένας κατὰ ἀναλογίαν καὶ δύναμιν ἑκάστου κελλίου.

ΙΕ') Ἐπειδὴ πολλάκις συμβαίνει τινὰς τῶν μοναστηριακῶν, προσκρούσαντας καὶ διανεχθέντας συνκοινοβιάταις ἑαυτῶν καὶ ἐκλιπόντας τὰ μοναστήρια καταφεύγειν εἰς σκήτην, τοῦ λοιποῦ μηδένα τοῦτο τολμᾶν, μήτε τοὺς ἐν σκήτῃ ὅλως ὑποδέχεσθαι τοὺς τοιούτους· ἢν δέ τις φανῇ τοῦτο ποιῶν τὸν ὑποδεξάμενον σὺν τῷ ὑποδεχθέντι παιδεύεσθαι.

ΙΣΤ') Ὅστις ἂν τῶν μοναστηριακῶν κινηθῇ δράξασθαι τῆς ἀρχιερατικῆς ἀξίας, τὸν τοιοῦτον μὴ μόνον μὴ ἀποδέχεσθαι παρὰ τῆς Ἐκκλησίας, ἀλλὰ καὶ παιδεύεσθαι μεγάλως.

ΙΖ') Τοὺς ἐπιξενουμένους τῷ Ὄρει τούτῳ, ὅπως χειροτονηθέντες διάκονοι ἢ ἱερομόναχοι ἐπιστρέψωσι, μὴ παραδέχεσθαι αὐτοὺς εὐθύς, ἀλλὰ πρῶτον πυνθανομένους τὸ ἄξιον αὐτῶν διὰ γραμμάτων παρὰ τῶν ἀρχιερέων τοῦ τόπου, ἐν ᾧ διέτριψαν τὰ πλείω τῆς ζωῆς αὐτῶν· εἰ δὲ τοῦτο δυσχερές, πρῶτον δοκιμάζοντες αὐτοὺς ἐν διαστήματι χρόνων δύο ὁλοκλήρων καὶ βεβαιωθέντας τὴν αὐτῶν ἀξιότητα, εἶθ' οὕτω μετὰ τῆς κανονικῆς παρατηρήσεως ἀξιοῦν ἐκείνους τῆς χειροτονίας.

ΙΗ') Τοὺς ἀσκητὰς ἐπιστρέψαι εἰς χεῖρας τῶν ἐπιστατῶν τὰς ἅσπερ ἔχουσι βούλλας καὶ τοῦ λοιποῦ μηδένα κῦρος ἔχειν ἑτέρας βούλλας ἐκτὸς τῶν μοναστηριακῶν βουλλῶν καὶ τῆς ἤδη κατασκευασθείσης τῆς Κοινότητος, εἰς τέσσαρα τμήματα διῃρημένης.

Ταῦτα ἔδοξε καὶ ἀπεφάνθη συνοδικῶς καὶ κοινῇ γνώμῃ, ὡς εἴρηται, τῶν τε ἐνδοξοτάτων καὶ εὐγενεστάτων ἀρχόντων καὶ ἐπιτρόπων τοῦ κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας καὶ τῆς Κοινότητος τοῦ Ἁγίου Ὄρους καὶ τῶν λοιπῶν ἁπάντων προκρίτων τοῦ γένους ἡμῶν καὶ τῇ θερμῇ ἀξιώσει καὶ δεήσει τῶν ἤδη ἐν τῇ βασιλευούσῃ διατριβόντων ὁσιωτάτων πατέρων πρὸς εὐνομίαν, εὐταξίαν τε καὶ εὐκοσμίαν καὶ ὅλως πρὸς κοινὸν ὄφελος ἀφορῶντα τοῦ ἁγιωνύμου τούτου Ὄρους. Διὸ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ ἀνωτέρω ῥητῶς ἀπηριθμημένα δεκαοκτὼ κεφάλαια ὡς δίκαια, εὔλογά τε καὶ χρήσιμα καὶ ἀναγκαῖα, καὶ ὅλως κοινωφελῆ καὶ πρὸς τὴν καλὴν κατάστασιν καὶ διοίκησιν τοῦ Ὄρους ἀφορῶντα, φυλάττονται παρά τε τῶν μοναστηριακῶν, κελλιωτῶν καὶ ἀσκητῶν καὶ τῶν λοιπῶν τῶν ἐν τῷ Ὄρει ἐς ἀεὶ ἀπαράτρεπτα ἀπαράβατά τε καὶ ἀπαραχάρακτα καὶ ὅλως ἀμετακίνητα εἰς αἰῶνα τὸν ἅπαντα, κατὰ λέξιν καὶ συλλαβὴν τῶν ἐμπεριεχομένων ἐννοιῶν. Ὅστις δ' ἂν τολμήσῃ ποτὲ κινηθῆναι ἐπὶ τὸ ἀνελεῖν, μετακινῆσαί τε καὶ ἀνατρέψαι πρός τι τῶν ἀνωτέρω ἐν τῷ παρόντι καλῶς δεδογμένων καὶ ἀποφανθέντων, ὁ τοιοῦτος, ὁποῖος ποτ' ἂν ᾖ, μικρὸς ἢ μέγας, ἀφωρισμένος εἴη καὶ κατηραμένος καὶ ἀσυγχώρητος παρὰ τῆς ἁγίας καὶ

ὁμοουσίας Τριάδος δι' ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ πάσαις ταῖς πατερικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν ἐν μεμβράναις σιγιλλιῶδες γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας καὶ ἐκδοθὲν εἰς χεῖρας τῶν ῥηθέντων ὁσιωτάτων πατέρων, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, κατὰ μῆνα Ἰούνιον, ἐπινεμήσεως πρώτης.

Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ Ἐφέσου Σαμουήλ
Ὁ Κυζίκου Ἀγάπιος
Ὁ Χαλκηδόνος Παρθένιος
Ὁ Νεοκαισαρείας Ἰγνάτιος
Ὁ Δράμας Γρηγόριος
Ὁ Ἡρακλείας Μεθόδιος
Ὁ Νικομηδείας Γεράσιμος
Ὁ Δέρκων Ἀνανίας
Ὁ Σερῥῶν Ματθαῖος
Ὁ Σοφίας Ἱερεμίας

6. Ἀθωνικὸ Τυπικὸ (ἔκδοση περιληπτική, 1810)

Α΄) Ὁ εἰσερχόμενος ἐν ταῖς μοναῖς ὅπως μονάσῃ ὀφείλει νὰ συμμορφωθῇ ἐν πᾶσι πρὸς τὴν κρατοῦσαν τάξιν· ἀναχωρῶν οὐδὲν λαμβάνει λόγῳ ἐκδουλεύσεων.

Β΄) Οὐδεὶς μοναχὸς μεθίσταται ἄνευ ἀδείας τοῦ οἰκείου προεστῶτος.

Γ΄) Οὐδεὶς ἐξέρχεται τοῦ Ὄρους ἄνευ ἀδείας τῶν ἐπιστατῶν, οἵτινες πρέπει νὰ ἐξετάζωσι καλῶς τὸν λόγον τῆς τοιαύτης ἐξόδου.

Δ΄) Ἀπαγορεύεται τοῖς μοναχοῖς τὸ σκανδαλωδῶς περινοστεῖν ἐν τῷ Ὄρει.

Ε΄) Πᾶς μοναχὸς ἐμφανιζόμενος εἰς τὸν διοικητὴν τοῦ Ὄρους δέον νὰ συνοδεύηται ὑφ' ἑνὸς τῶν ἐπιστατῶν.

ΣΤ΄) Οἱ περιερχόμενοι μοναχοὶ χάριν ἐλέους ὑπὲρ τῶν οἰκείων μονῶν εἰς τὰς τῆς Αὐτοκρατορίας χώρας, συμφώνως τοῖς αὐτοκρατορικοῖς διατάγμασιν, οὐδὲν δύνανται νὰ ἰδιοποιηθῶσιν· ὅπουδήποτε δ' ἀποθάνωσι, μόνον αἱ ἴδιαι αὐτῶν μοναὶ κληρονομῶσιν αὐτούς.

Ζ΄) Νὰ παύσωσιν αἱ περὶ ὁρίων διενέξεις τῶν μονῶν, τῇ δὲ τολμώσῃ τι κατ' ἄλλης, τολμησάτωσαν κατ' αὐτῆς αἱ δεκαεννέα μοναί. Ὅστις περὶ τὰς τοιαύτας διενέξεις φωρᾶται ἀδιόρθωτος πέμπεται εἰς ἐξορίαν κατὰ διαταγὴν τῆς κυβερνήσεως διὰ τοῦ ἐν τῷ Ὄρει Διοικητοῦ.

Η΄) Πᾶσα ἐπισκευὴ ἢ ἀνέγερσις οἰκοδομῆς ἐν ταῖς μοναῖς γίνεται τῇ γνώσει καὶ ἐπιστασίᾳ τοῦ ἡγουμένου καὶ τῶν ἐπιτρόπων ἑκάστης αὐτῶν.

Θ΄) Ἑκάστη μονὴ ἔχουσα ἰδίαν σφραγῖδα θὰ ἔχῃ καὶ δύο ἐπιτρόπους, οἵτινες θὰ διαχειρίζωνται τὴν δοσοληψίαν αὐτῆς καὶ εἰς τὸ τέλος ἑκάστου ἔτους θὰ δίδωσι λογοδοσίαν ἐνώπιον τῆς ἀδελφότητος αὐτῶν. Ἐὰν ἀρνηθῶσι, βιάζονται νομίμως εἰς τοῦτο. Ἡ ἀπόσβεσις τῶν ὑφισταμένων χρεῶν ἔσεται κύριον αὐτῶν μέλημα.

Ι΄) Αἱ οἰκοδομαὶ καὶ αἱ ἐπισκευαὶ τῶν κελλίων καὶ καλυβῶν γίνονται δαπάνῃ τῶν ἐνεργούντων ταύτας κελλιωτῶν καὶ σκητιωτῶν, τῇ γνώσει καὶ ἐγκρίσει τῶν προεστώτων τῶν μονῶν εἰς ἃς ὑπάγονται.

ΙΑ΄) Εἰς τὰ κελλία καὶ τὰς σκήτας ἀπαγορεύεται ἡ ἐγκατάστασις μοναστηριακῶν ἀδελφῶν ἀξιούντων νὰ διατρέφωνται ἐκ μοναστηριακῶν εἰσοδημάτων.

ΙΒ΄) Ἀπαγορεύεται εἰς τοὺς κελλιώτας νὰ ἐπεμβαίνωσιν εἰς τὰ τῶν μονῶν, καταγγελλόμενοι δὲ τιμωροῦνται.

ΙΓ') Τὰ κελλία δέον νὰ πωλῶνται εἰς τρία πρόσωπα. Ἐὰν τὸ β' ἢ τὸ γ' πρόσωπον ἢ ἀμφότερα δὲν ἔχωσιν ἔτι εὑρεθῇ, ἀφίεται ἐν τῷ ὁμολόγῳ τοῦ κελλίου κενόν, ὅπως τὰ ὀνόματα αὐτῶν προστεθῶσι κατόπιν. Διὰ πᾶσαν ἐγγραφὴν λαμβάνονται παρὰ τοῦ κελλιώτου ὑπὲρ τῆς μονῆς αὐτοῦ γρόσια πέντε (ἴσα νῦν πρὸς 5 γαλλ. φράγκα). Ὁ πωλῶν τὸ κελλίον αὐτοῦ κελλιώτης ὀφείλει νὰ εἴπῃ εἰς τὴν μονὴν αὐτοῦ τὴν πραγματικὴν ἀξίαν ἀνθ' ἧς ἐπώλησεν αὐτό, ὅπως σημειωθῇ ἐν τῷ ὁμολόγῳ.

ΙΔ') Συμφώνως τῷ αὐτοκρατορικῷ διατάγματι, αἱ εἴκοσι μοναὶ ὀφείλουσι νὰ πέμπωσιν ἰσαρίθμους ἀντιπροσώπους αὐτῶν εἰς Καρυάς, οἵτινες θὰ συνεργάζωνται μετὰ τῶν ἐπιστατῶν πρὸς διεξαγωγὴν τῶν ὑποθέσεων καὶ διανομὴν τῶν φόρων.

ΙΕ') Οἱ τέσσαρες ναζίρηδες (ἐπιστάται) θὰ ἐκλέγωνται ὡς καὶ πρότερον καὶ θὰ τηρῶσιν εἰς τέσσαρα τεμάχια τὴν σφραγῖδα τῆς Ἱερᾶς Κοινότητος. Οὗτοι θὰ εἰσπράττωσι τὰ βασιλικὰ καὶ τὰ τοπικὰ δοσίματα, ὀφείλουσι δὲ νὰ τηρῶσι λεπτομερῆ κατάστιχα ὅπως ἐτησίως ἐπιθεωρῶνται. Οἱ ἐπιστάται οὐδὲν διαθέτουσιν ἄνευ ἀδείας τῆς Λόντζας (Συνάξεως ἢ Ἱερᾶς Κοινότητος). Τὸ τυχὸν ἔλλειμμα τῶν ἐπιστατῶν πληρώνουσιν αἱ ὑπὲρ τούτων ἐγγυώμεναι πρότερον μοναὶ αὐτῶν.

ΙΣΤ') Πάντες οἱ φόροι θὰ καταβάλλωνται κατὰ τὴν ὡρισμένην ἐποχήν. Οἱ φορολογούμενοι διαιροῦνται εἰς τρεῖς κλάσεις. Οἱ μοναστηριακοὶ καὶ οἱ γέροντες τῶν κελλίων θὰ πληρώνωσι φόρον ἀαλιᾶ (Α' κλάσεως), οἱ ὑποτακτικοὶ τῶν κελλιωτῶν φόρον εὐσάτ (Β' κλάσεως), οἱ δὲ λοιποὶ πάντες φόρον ἐτνᾶ (Γ' κλάσεως).

ΙΖ') Τὰ χαρτία τοῦ προσωπικοῦ φόρου θὰ διανέμωνται τοῦ λοιποῦ δικαίως μετὰ μείζονος προσοχῆς.

7. Γενικοί κανονισμοί [166]

ΜΕΡΟΣ Α΄. ΓΕΝΙΚΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΥΠΟΣΤΑΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

ΑΡΘΡΟΝ 1. Τὸ Ἁγιώνυμον Ὄρος τοῦ Ἄθω περιλαμβάνει εἴκοσιν ἱεράς, κυριαρχικάς, βασιλικάς, πατριαρχικὰς καὶ σταυροπηγιακὰς μονὰς μετὰ τῶν σκητῶν, κελλίων, ἡσυχαστηρίων καὶ λοιπῶν ἐξαρτημάτων αὐτῶν.

ΑΡΘΡ. 2. Πλὴν τῶν ἀνωτέρω εἴκοσιν ἱερῶν μονῶν οὐδεὶς τῶν ἐν Ἁγίῳ Ὄρει κατοίκων δύναται νὰ λογισθῇ ποτὲ ὡς ἀπόλυτος ἰδιοκτήτης οὐδ'ἐλαχίστου τμήματος γῆς.

ΑΡΘΡ. 3. Αἱ ἀνωτέρω εἴκοσι μοναὶ εἰσὶν ἱεραρχικῶς ἀνέκαθεν τεταγμέναι ὡς ἑπομένως:

1. Ἡ Ἱερὰ Μονὴ Μεγίστης Λαύρας ἐπ' ὀνόματι *τοῦ ἁγίου Ἀθανασίου.*
2. Ἡ Ἱερὰ Μονὴ τοῦ Βατοπαιδίου ἐπ' ὀνόματι *τοῦ Εὐαγγελισμοῦ.*
3. Ἡ Ἱερὰ Μονὴ τῶν Ἰβήρων ἐπ' ὀνόματι *τῆς Κοιμήσεως τῆς Θεοτόκου.*
4. Ἡ Ἱερὰ Μονὴ τοῦ Χιλιανδαρίου ἐπ' ὀνόματι *τῶν Εἰσοδείων.*
5. Ἡ Ἱερὰ Μονὴ τοῦ Διονυσίου ἐπ' ὀνόματι *τοῦ Τιμίου Προδρόμου.*
6. Ἡ Ἱερὰ Μονὴ Κουτλουμουσίου ἐπ' ὀνόματι *τῆς Μεταμορφώσεως.*
7. Ἡ Ἱερὰ Μονὴ τοῦ Παντοκράτορος ἐπ' ὀνόματι *τῆς Μεταμορφώσεως.*
8. Ἡ Ἱερὰ Μονὴ Ξηροποτάμου ἐπ' ὀνόματι *τῶν 40 Μαρτύρων.*
9. Ἡ Ἱερὰ Μονὴ τοῦ Ζωγράφου ἐπ' ὀνόματι *τοῦ ἁγίου Γεωργίου.*
10. Ἡ Ἱερὰ Μονὴ τοῦ Δοχειαρίου ἐπ' ὀνόματι *τῶν Ἀρχαγγέλων.*
11. Ἡ Ἱερὰ Μονὴ τοῦ Καρακάλλου ἐπ' ὀνόματι *τῶν ἁγίων Ἀποστόλων.*
12. Ἡ Ἱερὰ Μονὴ τοῦ Φιλοθέου ἐπ' ὀνόματι *τοῦ Εὐαγγελισμοῦ.*
13. Ἡ Ἱερα Μονὴ Σίμωνος Πέτρας ἐπ' ὀνόματι *τῆς Γεννήσεως τοῦ Χριστοῦ.*
14. Ἡ Ἱερὰ Μονὴ τοῦ Ἁγίου Παύλου ἐπ' ὀνόματι *τῆς Ὑπαπαντῆς.*
15. Ἡ Ἱερὰ Μονὴ τοῦ Σταυρονικήτα ἐπ' ὀνόματι *τοῦ ἁγίου Νικολάου.*

---

166. Ἐκδόθηκε αὐτοτελῶς μὲ τίτλο: *Ο ΠΑΤΡΙΑΡΧΗΣ ΚΩΝ/ ΠΟΛΕΩΣ ΙΩΑΚΕΙΜ ΕΠΙΒΕΒΑΙΟΙ.* ΓΕΝΙΚΟΙ ΚΑΝΟΝΙΣΜΟΙ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ (ΑΘΩ), ΕΝ ΚΑΡΥΑΙΣ, τῇ 31ῃ Οκτωβρίου 1911. ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ, *ΤΥΠΟΙΣ ΜΙΣΑΗΛΙΔΩΝ (Ζινδάν- Καπού)* 1912.

16. Ἡ Ἱερὰ Μονὴ τοῦ Ξενοφῶντος ἐπ' ὀνόματι *τοῦ ἁγίου Γεωργίου*.
17. Ἡ Ἱερὰ Μονὴ τοῦ Γρηγορίου ἐπ' ὀνόματι *τοῦ ἁγίου Νικολάου*.
18. Ἡ Ἱερὰ Μονὴ τοῦ Ἐσφιγμένου ἐπ' ὀνόματι *τῆς Ἀναλήψεως*.
19. Ἡ Ἱερὰ Μονὴ τοῦ Ρωσικοῦ ἐπ' ὀνόματι *τοῦ ἁγίου Παντελεήμονος*.
20. Ἡ Ἱερὰ Μονὴ τοῦ Κωνσταμονίτου ἐπ' ὀνόματι *τοῦ ἁγίου Στεφάνου*.

ΑΡΘΡ. 4. Ὁ ἀριθμὸς οὗτος τῶν μονῶν ὡς ἀνεγνωρισμένος πρὸ αἰώνων παρά τε τῆς Ἐκκλησίας καὶ τῆς Πολιτείας ἐπ' οὐδεμιᾷ αἰτίᾳ ἐπιτρέπεται ἵνα αὐξηθῇ ἢ ἐλαττωθῇ.

ΑΡΘΡ. 5. Ἐκ τούτων αἱ μὲν ἕνδεκα σήμερόν εἰσι κοινόβιοι: ἤτοι αἱ μοναὶ Διονυσίου, Κουτλουμουσίου, Ζωγράφου, Καρακάλλου, Σίμωνος Πέτρας, Ἁγίου Παύλου, Ξενοφῶντος, Γρηγορίου, Ἐσφιγμένου, Ῥωσικοῦ καὶ Κωνσταμονίτου, οἱ ἐντὸς μοναχοὶ τῶν ὁποίων ζῶσι κοινῶς καὶ τὰ πάντα κοινὰ μεταξὺ αὐτῶν ἔχουσιν. Αἱ δὲ λοιπαὶ ἐννέα εἰσὶν ἰδιόρρυθμοι: ἤτοι αἱ μοναὶ Μεγίστης Λαύρας, Βατοπαιδίου, Ἰβήρων, Χιλιανδαρίου, Παντοκράτορος, Ξηροποτάμου, Δοχειαρίου, Φιλοθέου καὶ Σταυρονικήτα, ὧν οἱ ἐντὸς μοναχοὶ ζῶσιν ἕκαστος ἰδιαιτέρως.

ΑΡΘΡ. 6. Δὲν ἐπιτρέπεται ἡ μετατροπὴ κοινοβίου εἰς ἰδιόρρυθμον ἢ τἀνάπαλιν ἄνευ τῆς ἀπολύτου πλειονοψηφίας τῶν ἐχόντων δικαίωμα ψήφου ἀδελφῶν, ἀποχρώντων ἰσχυρῶν λόγων καὶ αἰτιῶν, τῆς ἐγκρίσεως τῆς Ἱερᾶς Κοινότητος καὶ τέλος τῆς ἐπικυρώσεως τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

ΑΡΘΡ. 7. Οὐδέποτε καὶ ἐπ' οὐδεμιᾷ περιπτώσει τὰ ἱερὰ τοῦ Ἄθω σκηνώματα δύνανται ἵνα ἐκτραπῶσι τοῦ ἀρχικοῦ αὐτῶν προορισμοῦ μὴ ὄντα δὲ μοναστήρια μετασχηματισθῶσι ταῖς κοσμικαῖς χρείαις (κανὼν ΙΓ' τῆς ἐν Νικαίᾳ Β' Συνόδου).

ΑΡΘΡ. 8. Ἐπ'οὐδενὶ λόγῳ ἢ αἰτίᾳ δύναται ἵνα γείνῃ ἀποδεκτὴ αἴτησις ἢ ἐνεργηθῇ μεταρρύθμισις ἀφορῶσα τὸ μοναχικὸν διοικητικὸν πολίτευμα, τὰς σχέσεις τῶν κυριαρχικῶν μονῶν πρὸς τὰς σκήτας, τὰ κελλία καὶ τὰ ἄλλα αὐτῶν ἐξαρτήματα.

ΑΡΘΡ. 9. Αἱ ἐν Ἄθῳ ἱεραὶ μοναὶ ὡς σταυροπηγιακαὶ θρησκευτικῶς ὑπάγονται ὑπὸ τὸ Οἰκουμενικὸν Πατριαρχεῖον Κων/πόλεως, πολιτικῶς δὲ εἰς τὴν σεβαστὴν Ὀθωμανικὴν Αὐτοκρατορίαν, πρὸς τὴν κυβέρνησιν τῆς ὁποίας ἀναφέρονται πᾶσαι αἱ πολιτικαὶ ὑποθέσεις τοῦ τόπου, συμφώνως τοῖς αὐτοκρατορικοῖς φιρμανίοις καὶ ταῖς προνομίαις τοῦ Ἁγιωνύμου τόπου.

ΑΡΘΡ. 10. Οὐδὲν ἕτερον μνημόσυνον ἐκκλησιαστικῆς ἀρχῆς ἐπιτρέπεται ἐν Ἁγίῳ Ὄρει πλὴν τοῦ ὀνόματος τοῦ οἰκουμενικοῦ πατριάρχου, ἅτε ἁπασῶν τῶν μονῶν οὐσῶν σταυροπηγιακῶν.

ΑΡΘΡ. 11. Ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία ὡς ὁ ἀνώτατος πνευματικὸς ἐπόπτης καὶ προστάτης τῶν ἱερῶν μονῶν τοῦ Ἁγίου Ὄρους παρέχει προθύμως

τὴν συναντίληψιν αὐτῆς ζητουμένην παρὰ τῆς Κοινότητος εἴτε πρὸς διευθέτησιν ἐσωτερικῶν ζητημάτων εἴτε καὶ πρὸς ὑποστήριξιν δικαίων τοῦ ἱεροῦ τόπου παρὰ τῇ κυβερνήσει καὶ ἀπόκρουσιν πάσης ἐν γένει ἐξωτερικῆς ἐπεμβάσεως.

ΑΡΘΡ. 12. Ἡ σεβαστὴ Αὐτοκρατορικὴ Κυβέρνησις διορίζει ἐν Ἁγίῳ Ὄρει ἀντιπρόσωπόν της (καϊμακάμην) ἀπ' εὐθείας ἐκ Κων/πόλεως κατὰ τὴν μέχρι τοῦδε τηρουμένην συνήθειαν συμφώνως τοῖς ὑψηλοῖς φιρμανίοις. Ὁ διορισμός του κοινοποιεῖται διὰ βουγιουρουλτίου πρὸς τὴν Ἱερὰν τοῦ Ἁγίου Ὄρους Κοινότητα μετὰ τῆς ὁποίας συμπράττει καὶ τῆς ὁποίας ἐκτελεῖ τὰς ἀποφάσεις συνῳδὰ τῇ ἀνέκαθεν τάξει.

ΑΡΘΡ. 13. Οἱ φόροι τῆς χερσονήσου τοῦ Ἁγίου Ὄρους κατ' ἀποκοπὴν ὡρισμένοι ὄντες (μακτοῦ), καὶ εἰς γρόσια 72 χιλιάδας κεκανονισμένοι, θὰ πληρώνωνται κατὰ δόσεις ἀπ' εὐθείας εἰς τὸ Μαλιγὲ διὰ τοῦ ἐπιτρόπου Κωνσταντινουπόλεως.

ΑΡΘΡ. 14. Δι' ὅλας τὰς μετὰ τὸ 1257 ἔτος ἐγείρας, καθ' ἃ ἐντέλλεται τὸ κατὰ τὴν ἐποχὴν ἐκείνην ἐκδοθὲν αὐτοκρατορικὸν φιρμάνιον, γενομένας καὶ γενησομένας ἀγορὰς ἀκινήτων ἐκτὸς τοῦ Ἁγίου Ὄρους κτημάτων, ἐπειδὴ δὲν χαίρουσι τὸ δικαίωμα τῆς ἀσυδοσίας, θὰ πληρώνηται ὁ νενομισμένος φόρος.

ΑΡΘΡ. 15. Τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω ἀπολαύει ὅλων τῶν ἀσυδοσιῶν καὶ προνομίων ἐκείνων, ἅτινα περιφρουροῦνται διὰ διαφόρων φιρμανίων, βεζυρικῶν διαταγῶν καὶ ἐπὶ μέρους ἐγγράφων, ὧν κάτοχοι τυγχάνουσιν αἵ τε ἱεραὶ μοναὶ καὶ ἡ Ἱερὰ Κοινότης.

ΑΡΘΡ. 16. Πᾶσα μονὴ ἐσωτερικῶς ἐστι αὐτοδιοίκητος καὶ αὐτόνομος.

ΑΡΘΡ. 17. Ἡ διαχείρισις ἑκάστης τῶν ἐν Ἄθω μονῶν ὡς καὶ τῶν κτημάτων αὐτῶν ἐντὸς καὶ ἐκτὸς τοῦ Ἁγίου Ὄρους ἀνήκει τῇ ἐπιμελείᾳ τῆς ἐν αὐτῷ μοναζούσης ἀδελφότητος.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΔΙΟΙΚΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

Α'. ΙΕΡΑ ΚΟΙΝΟΤΗΣ. - ΔΙΚΑΙΩΜΑΤΑ ΚΑΙ ΚΑΘΗΚΟΝΤΑ ΑΥΤΗΣ.

ΑΡΘΡ. 18. Τὸ Ἁγιώνυμον Ὄρος, συνῳδὰ τῷ προνομιακῷ αὐτοῦ καθεστῶτι ἐν τοῖς μὴ καθαρῶς ποινικοῖς ζητήμασι, κυβερνᾶται ὑπὸ εἰκοσαμελοῦς ἀντιπροσωπείας, ἀποτελουμένης ἐξ ἀντιπροσώπων πεμπομένων ὑπὸ μιᾶς ἑκάστης τῶν εἴκοσιν ἱερῶν μονῶν τοῦ Ἄθω.

ΑΡΘΡ. 19. Ἡ ἀντιπροσωπεία αὕτη εἶναι γνωστὴ ὑπὸ τὸ ὄνομα Ἱερὰ Κοινότης τοῦ Ἁγίου Ὄρους Ἄθω.

ΑΡΘΡ. 20. Ἑκάστη ἱερὰ μονὴ δικαιοῦται ἵνα πέμπῃ ἕνα καὶ μόνον ἀντιπρόσωπον ἔχοντα πληρεξουσιότητα καὶ δικαιούμενον ἵνα ψηφίζῃ ἐξ ὀνόματος τῆς ἰδίας ἱερᾶς μονῆς ὑποχρεουμένης ἵνα μὴ θέτῃ ἐν ἀμφιβόλῳ ἢ ἀντιστρατεύηται κατὰ τῆς ψήφου τοῦ ἀντιπροσώπου αὐτῆς.

ΑΡΘΡ. 21. Ἕκαστος ἀντιπρόσωπος κατὰ τὰ καθεστῶτα τῶν ἱερῶν μονῶν ὀφείλει, πρὸ τῆς ὑπογραφῆς τούτου ἢ ἐκείνου τοῦ πρακτικοῦ, ἵνα συνεννοῆται μετὰ τῆς ἱερᾶς αὐτοῦ μετανοίας ὅπως πεφωτισμένως καὶ ἐγκύρως ὑπογράφῃ ἐπὶ τῶν διοικητικῆς φύσεως ζητημάτων, πλὴν τῶν δικαστικῶν ἐν οἷς ὀφείλει ἵνα ἀποφαίνηται κατὰ συνείδησιν.

ΑΡΘΡ. 22. Ὡς ἀντιπρόσωποι ἀνάγκη ἵνα ἀποστέλλωνται, ἐκ τῆς τάξεως πάντως τῶν προϊσταμένων ἄνδρες ἡλικίας ἀνωτέρας τῶν τριάκοντα πέντε ἐτῶν διακρινόμενοι ἐπὶ ἐναρέτῳ πολιτείᾳ, ἀμέμπτῳ διαγωγῇ, χρηστότητι ἤθους, ἠπίῳ χαρακτῆρι, ἀγάπῃ καὶ ἀφοσιώσει εἰς τὰ καθ' ὅλου συμφέροντα τοῦ Ἁγίου Ὄρους καὶ τῶν ἱερῶν μονῶν ἰδίᾳ καὶ κάτοχοι μικρᾶς ἢ μεγάλης μορφώσεως καὶ πείρας.

ΑΡΘΡ. 23. Ἡ Ἱερὰ Σύναξις ἡ οὕτω πως ἀποτελουμένη συνεδριάζει τακτικῶς μὲν τρὶς τῆς ἑβδομάδος, ἐκτάκτως δὲ ὁσάκις δειχθῇ ἀνάγκη, προσκαλουμένου ἑκάστοτε πρὸς τοῦτο ἑκάστου ἀντιπροσώπου καταλλήλως ὑπὸ τῆς ἱερᾶς Ἐπιστασίας.

ΑΡΘΡ. 24. Ἡμέραι τακτικῶν συνεδριῶν εἰσὶν ἡ Δευτέρα, Τετάρτη καὶ Παρασκευή, ἀντικαθιστάμεναι κατὰ τὴν Μεγάλην Τεσσαρακοστὴν ἕνεκα τῶν προηγιασμένων λειτουργιῶν διὰ τῆς Δευτέρας, Τρίτης καὶ Πέμπτης· ὥρα δὲ ἀπὸ ἀρχὰς Ἀπριλίου μέχρι Σεπτεμβρίου 1 ½-2 ½ [167], ἀναλόγως τῆς ἀνατολῆς τοῦ ἡλίου, ἀπὸ δὲ τῶν ἀρχῶν Σεπτεμβρίου μέχρι Μαρτίου ἀναλόγως αὖθις τῆς τοῦ ἡλίου ἀνατολῆς ἀπὸ 2 ½-3.

ΑΡΘΡ. 25. Αἱ συνεδρίαι ἀπὸ τῆς ἐνάρξεως αὐτῶν ἄνευ διακοπῆς παρατείνονται ἐπὶ δύο συναπτὰς ὥρας μεθ'ἃς ἐπέρχεται διάλειμμα ἑνὸς τετάρτου. Ἡ μετὰ τὸ διάλειμμα παράτασις, ἂν δεήσῃ, τῶν συνεδριῶν παρατείνεται ἐπὶ ἑτέρας δύο ὥρας ὥστε αἱ συνεδριάσεις νὰ ὦσι τετράωροι.

ΑΡΘΡ. 26. Οὐδενὶ τῶν ἀντιπροσώπων εὑρισκομένῳ ἐν Καρυαῖς ἐπιτρέπεται ἵνα ἀπουσιάζῃ τῶν συνεδριῶν, εἰ μὴ λόγῳ ἀσθενείας καὶ δεδικαιολογημένης αἰτίας. Ὁ δὶς κατὰ συνέχειαν ἄνευ εὐλόγου αἰτίας ἀπουσιάσας τῶν συνεδριῶν λαμβάνει γραπτὴν παρὰ τῆς ἱερᾶς Ἐπιστασίας πρόσκλησιν, μεθ' ἥν, μὴ συμ-

167. Ἡ ἔκδοση τῶν Γ.Κ. γράφει: «1-½».

μορφούμενος, καταγγέλλεται πρὸς τὴν ἱερὰν αὐτοῦ μετάνοιαν ὅπως τὸ πρῶτον συμβουλεύσῃ αὐτὸν πρὸς διόρθωσιν, καὶ ἐν δυστροπίᾳ ζητεῖται ἡ ἀντικατάστασις αὐτοῦ ὡς κωλυσιεργοῦντος· ἐν περιπτώσει δὲ καθ' ἣν ἡ ἱερὰ αὐτοῦ μετάνοια ἤθελε φανῇ εὐνοοῦσα τὴν ὑπὸ τοῦ ἀντιπροσώπου αὐτῆς διενεργουμένην κωλυσιεργίαν ἢ μὴ ἐπιβάλλουσα αὐτῷ τὴν τακτικὴν εἰς τὴν Ἱερὰν Σύναξιν φοίτησιν ἢ μὴ ἀντικαθιστῶσα αὐτόν, μετὰ ὥρμον σκέψιν ἡ Ἱερὰ Σύναξις παύουσα τὸν ἀντιπρόσωπον τοῦτον, στερεῖ τὴν μονὴν τοῦ δικαιώματος ἀποστολῆς ἀντιπροσώπου ἀπὸ τριῶν ἕως ἓξ μηνῶν, ἡ δὲ ψῆφος ταύτης θὰ προστίθηται εἰς τὴν πλειοψηφίαν.

ΑΡΘΡ. 27. Πρὸς πρόληψιν προσκλαύσεως ἐκ μέρους τούτου ἢ ἐκείνου τοῦ ἀντιπροσώπου καὶ ἰδίως τοῦ ἀτόπου τῆς κωλυσιεργίας, εἰσάγεται ἡ χρῆσις βιβλίου παρουσιάσεων, ἐν ᾧ ἰδίᾳ χειρὶ ὑπογράφεται ἕκαστος τῶν ἀντιπροσώπων ἅμα τῇ εἰσόδῳ αὐτοῦ εἰς τὴν αἴθουσαν τῶν συνεδριῶν, ὧν ἡ ἀπαρτία κανονίζεται ἐπὶ τῇ βάσει τοῦ ἀριθμοῦ τῶν ὑπογραφῶν τοῦ βιβλίου τούτου. Ὁ μὴ ὑπογράφων ἐν τῷ βιβλίῳ τῶν παρουσιάσεων θεωρεῖται ὡς κωλυσιεργῶν.

ΑΡΘΡ. 28. Ἡ Ἱερὰ Σύναξις θεωρεῖται ἐν ἀπαρτίᾳ ὅταν παρευρίσκωνται τὰ 2/3 τῶν ἀντιπροσώπων, ἤτοι δέκα τέσσαρες· εὐθὺς ὡς ἀποτελεσθῇ ὁ ἀριθμὸς οὗτος, χωρεῖ ἡ Ἱερὰ Σύναξις εἰς τὸ ἔργον της δικάζουσα καὶ ἀποφασίζουσα ἐγκύρως ὑπερισχυούσης ἑκάστοτε τῆς γνώμης τῆς πλειονοψηφίας, τῆς μειονοψηφίας δικαιουμένης ἵνα σημειοῖ τὴν γνώμην αὐτῆς ἐν τοῖς πρακτικοῖς, ἔστω καὶ ἂν ἀποτελῆται αὕτη ἐξ ἑνὸς καὶ μόνου ἀντιπροσώπου.

ΑΡΘΡ. 29. Οὐδενὶ τῶν ἀντιπροσώπων ἐπ' οὐδεμιᾷ προφάσει ἐπιτρέπεται ἡ ἄρνησις τῆς ὑπογραφῆς οἱουδήποτε πρακτικοῦ.

ΑΡΘΡ. 30. Αἱ κατὰ πλειονοψηφίαν λαμβανόμεναι ἀποφάσεις μετὰ α' καὶ β' ἀνάγνωσιν, ὁπότε ἐπέρχεται κατ' ἀνάγκην ἡ ἐνίσχυσις αὐτῶν διὰ τῆς ὑπογραφῆς τῶν ἀντιπροσώπων, σφραγίζονται διὰ τῆς κοινοτικῆς σφραγῖδος ὑπὸ τῆς Ἐπιστασίας· ὁ ἀρνούμενος τυχὸν ἐκ τῶν Ἐπιστατῶν ἵνα παράσχῃ τὸ ἴδιον τμῆμα πρὸς σφράγισιν τῶν ἐκ τοιούτων ἀποφάσεων ἀπολυομένων ἐγγράφων λαμβάνει ἐντολὴν παρὰ τῆς Ἱερᾶς Συνάξεως νὰ σφραγίσῃ· ἐπιμένων δ' ἐν τῇ αὐτοῦ ἀρνήσει κηρύσσεται ἔκπτωτος τῶν ἐπιστασιακῶν αὐτοῦ καθηκόντων.

ΑΡΘΡ. 31. Τοῦ λοιποῦ ἐν τοῖς πρακτικοῖς ἀνάγκη ἵνα ἀναγράφωνται ὀνομαστὶ τὰ ὀνόματα τῶν δεδικαιολογημένως ἢ μὴ ἀπουσιαζόντων ἀντιπροσώπων, σημειουμένου καὶ τοῦ ἀποχρῶντος ἢ μὴ λόγου τῆς ἀπουσίας ἑκάστου συνῳδὰ τῷ ἄρθρῳ 90ῳ[168] .

168. Τό ἀναφερόμενο ἐδῶ ἄρθρο, ὅπως καὶ τά ἄρθρα 47, 79η, δέν ἀντιστοιχοῦν πρός τά ἄρθρα τῶν δημοσιευμένων Γ. Κ.

ΑΡΘΡ. 32. Ἡ ἐν ἀπαρτίᾳ ἀρχομένη τῶν ἐργασιῶν αὐτῆς Ἱερὰ Σύναξις δύναται ἵνα ἐγκύρως ἐργάζηται καὶ δικάζῃ καὶ ὅταν ἐν τῷ μεταξὺ δύο ἢ τρεῖς ἢ καὶ τέσσαρες τῶν ἀντιπροσώπων δι' εὐλόγους αἰτίας ἀπομακρυνθῶσι προσωρινῶς τῆς αἰθούσης τῶν συνεδριῶν, ἐκτὸς ἂν ἕνεκα διαφωνιῶν γνώμης διαμαρτυρηθέντες ἐξέλθωσιν, οἱ δὲ ἐν τῇ συνεδρίᾳ ὑπολειπόμενοι εἶναι ἐλάττονες τῶν ἕνδεκα, ὁπότε διαλύεται ἡ Σύναξις καὶ καταγγέλλονται οἱ ἀδίκως κωλυσιεργοῦντες εἰς τὰς οἰκείας μονάς.

ΑΡΘΡ. 33. Ἕκαστος τῶν ἀντιπροσώπων ἀντιπροσωπεύει μόνον τὴν γνώμην τῆς ἰδίας μονῆς ἔχων κατ' ἀκολουθίαν μίαν ψῆφον· ἐπιτρέπεται δὲ ἵνα ἀναλάβῃ, ἐπὶ τῇ βάσει ἱεροσφραγίστου μοναστηριακῆς ἐπιστολῆς κατατιθεμένης ἐν τῷ γραφείῳ καὶ ἧς μνεία νὰ γίνηται ἐν τῷ σχετικῷ πρακτικῷ, καὶ τὴν ἀντιπροσωπείαν ἄλλης ἱερᾶς μονῆς, οὐχὶ πλέον τοῦ μηνός, χρησιμοποιούσης προσωρινῶς τὸν ἴδιον ἀντιπρόσωπον δι' ἄλλην διακονίαν· οὐδέποτε ὅμως τὸ αὐτὸ πρόσωπον δικαιοῦται ἵνα ἀναλάβῃ ἀντιπροσωπείαν δύο ἑτέρων ἱερῶν μονῶν συγχρόνως.

ΑΡΘΡ. 34. Αἱ συνεδρίαι τῆς Ἱερᾶς Συνάξεως ἀνάγκη ἵνα διεξάγωνται ἐν ἠρέμῳ φράσει καὶ μεμετρημένοις λόγοις, τηρουμένου πάντοτε τοῦ σεβασμοῦ πρός τε τὸν ἱερὸν τῆς Συνάξεως χῶρον καὶ τὰ παρακαθήμενα σεβαστὰ πρόσωπα τὰ ἀντιπροσωπεύοντα εὐαγῆ καὶ πανάρχαια ἱερὰ καθιδρύματα, τόπους προσευχῆς καὶ ἀσκήσεως τῆς κατὰ Χριστὸν ἀρετῆς. Οἱ τυχὸν παρεκτρεπόμενοι μετὰ πρώτην καὶ δευτέραν εὔσχημον ὑπὸ τοῦ Πρωτεπιστάτου παρατήρησιν ἀπομακρύνονται τῆς Ἱερᾶς Συνάξεως διὰ μικρὸν ἢ μέγα διάστημα ἀναλόγως τοῦ διαπραττομένου ἀτοπήματος, δηλουμένης ἑκάστοτε τῆς ἀπομακρύνσεως διὰ καταλλήλου πρὸς τὴν οἰκείαν μονὴν ἐπιστολῆς.

ΑΡΘΡ. 35. Πάντες οἱ ἀντιπρόσωποι τῶν ἱερῶν μονῶν εἰσὶν ἴσοι πρὸς ἀλλήλους καὶ ἑπομένως ἰσόψηφοι, διακρινόμενοι μόνον κατὰ τὴν ἱεραρχικὴν τῆς παρεδρίας τάξιν, καθ' ἣν θὰ δίδηται καὶ ὑπὸ τοῦ Πρωτεπιστάτου ὁ λόγος εἰς τοὺς ἐπιθυμοῦντας ἵνα ἀναπτύξωσι τοῦτο ἢ ἐκεῖνο τὸ ὑπὸ συζήτησιν ζήτημα. Εἰς τοὺς δευτερολογοῦντας ὁ λόγος θὰ δίδηται κατὰ τὴν τάξιν τῆς δηλώσεως.

ΑΡΘΡ. 36. Οὐδεὶς τῶν ἀντιπροσώπων δικαιοῦται ἵνα συνηγορήσῃ ἢ ἀντείπῃ εἰς τὴν διδομένην διαταγὴν ἐκ μέρους τοῦ Πρωτεπιστάτου πρὸς ἀπομάκρυνσιν ἐκ τῆς Συνάξεως τοῦ παραβάτου συμφώνως τῷ ἀνωτέρῳ ἄρθρῳ. Ἐν περιπτώσει ἀπειθείας τοῦ παραβάτου ἢ ἐπεμβάσεως παρανόμου ἐκ μέρους ἄλλου ἀντιπροσώπου ὑπὲρ αὐτοῦ, ὑποχρεοῦται σύσσωμος ἡ Ἱερὰ Σύναξις ἵνα προβῇ εἰς τὴν καταδίκην καὶ ἀπομάκρυνσιν ἐκ τῆς Ἱ. Συνάξεως ἀμφοτέρων καὶ ἐπ' οὐδενὶ λόγῳ νὰ δεχθῇ τὴν συνεργασίαν μετ' αὐτῶν πρὸ τῆς λήξεως τοῦ χρονικοῦ διαστήματος τῆς τιμωρίας.

ΑΡΘΡ. 37. Ὁ ἅπαξ καὶ δὶς ἀπομακρυνθεὶς τῆς Ἱερᾶς Συνάξεως, δι' οὓς λόγους τὰ ἀνωτέρω διακελεύονται ἄρθρα, μὴ διορθούμενος, ἐπαναλαμβάνων δὲ τὸ ἴδιον ὕφος καὶ τὴν ἰδίαν φρασεολογίαν καὶ στάσιν διὰ τρίτην φοράν, καταγγέλλεται πρὸς τὴν οἰκείαν μονὴν καὶ συνιστᾶται ἡ ἀντικατάστασις αὐτοῦ.

ΑΡΘΡ. 38. Οἱ δικαζόμενοι τυχὸν τῶν ἀντιπροσώπων, ἀποδειχθείσης τῆς ἐνοχῆς αὐτῶν ἐμμαρτύρως, παύονται ὁριστικῶς καὶ ἀποκλείονται διὰ παντὸς τῆς παρεδρίας καὶ ψήφου ἐν τῇ Ἱερᾷ Συνάξει.

ΑΡΘΡ. 39. Ὅπως διατυπῶσι πεφωτισμένην οἱ ἀντιπρόσωποι γνώμην περὶ τούτου ἢ ἐκείνου τοῦ ζητήματος, ἀνάγκη ὅπως ἀπὸ τῆς πρωΐας ἤδη, τῆς πρὸ τῆς συνεδρίας ἡμέρας, ἐν μὲν τῇ αἰθούσῃ τῆς Συνάξεως ἀναρτᾶται πινάκιον τῶν συζητηθησομένων ὑποθέσων, ἑνὶ δ' ἑκάστῳ ἀντιπροσώπῳ διανέμηται ἀντίγραφον τῆς ἐν αὐτῷ ἡμερησίας διατάξεως.

ΑΡΘΡ. 40. Αἱ ὑπὸ συζήτησιν ὑποθέσεις ἀναγράφονται ἐν τῷ πινακίῳ κατὰ τὴν χρονολογικὴν τάξιν τῆς ἐν τῷ γραφείῳ καταθέσεως τῶν σχετικῶν περὶ αὐτῶν ἐγγράφων. Ἐξαίρεσις μόνον γίνεται προκειμένου περὶ ἐπειγουσῶν ὑποθέσεων, ὧν ἡ ἀναβολὴ δύναται ἵνα διακυβεύσῃ σπουδαῖα τῶν ἱερῶν μονῶν ἢ τοῦ τόπου συμφέροντα.

ΑΡΘΡ. 41. Μόνον αἱ γραπτῶς καὶ ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὑποβαλλόμεναι αἰτήσεις, ἀναφοραὶ καὶ λοιπὰ ἔγγραφα εἰς τὸ γραφεῖον τῆς Ἱερᾶς Συνάξεως καταγράφονται ἐν τῷ πινακίῳ καὶ εἰσάγονται πρὸς συζήτησιν ἐν τῇ Ἱερᾷ Συνάξει.

ΑΡΘΡ. 42. Ἡ Ἱερὰ Σύναξις φέρουσα τύπον πρωτοδικείου ἐν ταῖς μὴ καθαρῶς ἐσωτερικαῖς μοναστηριακαῖς ὑποθέσεσιν ὀφείλει ἵνα θεωρῇ καὶ δικάζῃ τὰς ἀναφυομένας διαφορὰς μεταξὺ μονῶν ἢ μονῆς τινὸς ἢ μεταξὺ μονῶν, σκητῶν καὶ κελλίων ἀνεκκλήτως, ὅταν αὗται ἀποκλειστικῶς ἐπάγωνται εἰς μόνον τὰ ἔθιμα τοῦ τόπου, ἅτινα κρατυνθέντα ὑπὸ χρήσεως μακροαιωνίου ἔλαβον ἰσχὺν νόμου καὶ ἀνεγνωρίσθησαν ὑπό τε τῆς σεβ. κυβερνήσεως καὶ τῆς Ἐκκλησίας. Πᾶσαι αἱ λοιπαὶ διαφοραὶ κέκτηνται δικαίωμα ἐφέσεως εἰς τὰ Πατριαρχεῖα, ὁπότε συναποστέλλονται καὶ πάντα τὰ ἔγγραφα τῆς δικογραφίας.

ΑΡΘΡ. 43. Ἡ Ἱερὰ Σύναξις ἐν φόβῳ Θεοῦ καὶ ἐν συνειδήσει ἐπιλαμβανομένη ἑνὸς ἑκάστου ἐπὶ μέρους ὑποβαλλομένου ζητήματος δικάζει ἐπὶ τῇ βάσει αὐτῶν ἐκείνων τῶν κωδίκων, δι' ὧν δικάζουσι καὶ τὰ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας δικαστήρια· ἤτοι: τοῦ Ἐκκλησιαστικοῦ Δικαίου, Πανδεκτῶν, Νεαρῶν, ἰδίᾳ τοῦ Ἁρμενοπούλου, τοῦ Συντάγματος τῶν ἱερῶν κανόνων Ῥάλλη καὶ Ποτλῆ καὶ τῆς οἰκείας τοῦ Ἁγιωνύμου ἡμῶν τόπου νομολογίας καὶ τῶν ἐθίμων αὐτοῦ.

ΑΡΘΡ. 44. Ἡ διαδικασία ἐν τῇ Ἱερᾷ Συνάξει τελεῖται δι'αὐτοπροσώπου ἐμφανίσεως τῶν διαδίκων, ἐπ' οὐδεμᾷ περιπτώσει ἐπιτρεπομένης τῆς δι' ἀντιπροσώπου ἢ πληρεξουσίου ὑπερασπίσεως τῶν ὑποθέσεων αὐτῶν.

ΑΡΘΡ. 45. Ἡ χρῆσις τῶν ἐνδίκων μέσων γίνεται ἐπὶ τῇ βάσει τῶν «Πατριαρχικῶν δικονομικῶν ὁδηγιῶν».

ΑΡΘΡ. 46. Μετὰ τὴν ἐξάντλησιν τῆς συζητήσεως, κηρυσσομένης ὑπὸ τοῦ Πρωτεπιστάτου τῆς λήξεως αὐτῆς, τελεῖται ἡ ψηφοφορία ἀρχομένη κατ' ἀντίστροφον τῆς ἱεραρχικῆς παρεδρίας τῶν ἀντιπροσώπων τάξιν.

ΑΡΘΡ. 47. Ὅταν ἡ Ἱερὰ Κοινότης θετικῶς πληροφορηθῇ ὅτι ἡ οἰκονομικὴ κατάστασις μονῆς τινὸς εἶναι δυσχερὴς εἰς βαθμὸν δυνάμενον νὰ ἐμπνεύσῃ ἀνησυχίας περὶ τοῦ μέλλοντος αὐτῆς, προσκαλεῖ τοὺς ἰθύνοντας τὴν ἐν λόγῳ ἱερὰν μονὴν ἵνα παρουσιάσωσιν εἰς τὴν Ἱερὰν Κοινότητα ἀκριβῆ καὶ δεδικαιολογημένον ἰσολογισμὸν τῶν ἐσόδων καὶ ἐξόδων, τῶν ὀφειλῶν καὶ τῶν δανείων αὐτῆς. Ἐὰν δὲ ἡ ἐξέτασις πείσῃ τὴν Ἱ. Κοινότητα ὅτι ὄντως ἡ μονὴ ἐκείνη διατρέχει κρίσιν οἰκονομικήν, αὐτεπαγγέλτως ἐπεμβαίνουσα, λαμβάνει τὰ προσήκοντα μέτρα διὰ τὴν ἀνόρθωσιν αὐτῆς κατὰ τὸ ἄρθρον 73ον.

ΑΡΘΡ. 48. Κατὰ τὴν ἔναρξιν τῶν ἐπισήμων ἐνιαυσίων συνεδριῶν τῆς Συνάξεως τελεῖται ἡ νενομισμένη ἱερὰ τελετή· κατὰ δὲ τὴν λῆξιν τῶν συνεδριῶν αὐτῆς μετὰ τὴν νενομισμένην ἱεροτελεστίαν ἀναγινώσκεται καὶ ἡ συνήθης συγχωρητικὴ εὐχή.

ΑΡΘΡ. 49. Ἡ Μεγάλη Ἐκκλησία τῇ προσκλήσει τῆς πλειονοψηφίας τῆς Ἱερᾶς Συνάξεως ἢ τῶν ἐνδιαφερομένων μονῶν ἢ καὶ μιᾶς μονῆς δικαιοῦται ν' ἀποστέλλῃ Ἐξάρχους, ὧν τὰ ἔξοδα βαρύνουσι τοὺς καλοῦντας, καὶ οἱ ὁποῖοι θὰ φέρωσι, ὡς ἔθος, τὰς πρὸς τὴν Ἱερὰν Κοινότητα ἐκκλησιαστικὰς συστάσεις ἐκφαντικὰς τοῦ σκοποῦ τῆς ἀποστολῆς αὐτῶν, μεθ' ἧς ὀφείλουσι νὰ συμπράττωσιν.

ΑΡΘΡ. 50. Πᾶν ἔγγραφον ἀπολυόμενον ἀπὸ τοῦ Ἄθω καὶ διαβιβαζόμενον εἰς τὸ Οἰκουμενικὸν Πατριαρχεῖον δέον ἵνα ᾖ γεγραμμένον ἑλληνιστί.

Β'. ΙΕΡΑ ΕΠΙΣΤΑΣΙΑ. - ΔΙΚΑΙΩΜΑΤΑ ΚΑΙ ΚΑΘΗΚΟΝΤΑ ΑΥΤΗΣ.

ΑΡΘΡ. 51. Ἱερὰ Ἐπιστασία ἀποτελουμένη ἐκ τεσσάρων προϊσταμένων διαφόρων ἱερῶν μονῶν ἀντιπροσωπεύει τὴν ἐκτελεστικὴν τῆς Ἱ. Κοινότητος ἐξουσίαν, ἐκπληροῦσα συγχρόνως καὶ δημαρχιακὰ καθήκοντα ὡς καὶ καθήκοντα εἰρηνοδικείου.

ΑΡΘΡ. 52. Ἡ κοινοτικὴ σφραγὶς ἔχουσα ἐν τῷ μέσῳ τὴν εἰκόνα τῆς Θεοτόκου «ἡ Πλατυτέρα» καὶ διῃρημένη εἰς τέσσαρα τμήματα μένει ἐν τῇ δικαιοδοσίᾳ τῶν Ἐπιστατῶν, ἕκαστος τῶν ὁποίων κατέχει ἀνὰ ἓν τμῆμα.

ΑΡΘΡ. 53. Κατὰ τὴν εἰς πέντε τετράδας ἀρχαιοτάτην διαίρεσιν τῶν εἴκοσιν ἱερῶν μονῶν τοῦ Ἄθω, ὡς Ἐπιστάται ἐκ μιᾶς ἑκάστης τετράδος δι' ὁλόκληρον τὸ ἐπισασιακὸν ἔτος, ἀρχόμενον ἀπὸ 1ης Ἰουνίου καὶ λῆγον τῇ 31ῃ Μαΐου, ἀποστέλλονται ἐκ μιᾶς ἑκάστης τῶν τῆς τετράδος μονῶν πρόσωπα ἐγνωσμένης ἀρετῆς καὶ ἱκανότητος, ἐξ ὧν ὁ πρῶτος ἑκάστης τετράδος φέρει καὶ τὸν τίτλον «Πρωτεπιστάτης».

ΑΡΘΡ. 54. Αἱ τετράδες καθ' ἃς διαιροῦνται αἱ μοναὶ τοῦ Ἁγίου Ὄρους εἰσὶν αἱ ἑξῆς:

α' τετράς:
1. *Μεγίστης Λαύρας*
2. *Δοχειαρίου*
3. *Ξενοφῶντος*
4. *Ἐσφιγμένου*

γ' τετράς:
1. *Ἰβήρων*
2. *Παντοκράτορος*
3. Φιλοθέου
4. *Σίμωνος Πέτρας*

β' τετράς:
1. *Βατοπαιδίου*
2. *Κουτλουμουσίου*
3. *Καρακάλλου*
4. *Σταυρονικήτα*

δ' τετράς:
1. *Χιλιανδαρίου*
2. *Ξηροποτάμου*
